# Ἀκολουθία

## Παρακλητικὸς κανὼν καὶ οἶκοι ἤτοι χαιρετισμοὶ
## τῆς Ὁσίας Μητρὸς ἡμῶν Ζένης

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ
Ἐκκλησίας

Ἐγκρίσει τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ἔκδοσις Ἱεροῦ Ναοῦ Ὁσίας Ζένης Χαριλάου - Θεσσαλονίκης

Ἐπιμελείᾳ
+ Πρωτοπρεσβυτέρου Δημητρίου Καταβέλου



Θεσσαλονίκη 1980

# Ἀκολουθία

## Παρακλητικός Κανών καί Οἶκοι ἤτοι Χαιρετισμοί τῆς Ὁσίας Μητρός ἡμῶν Ζένης

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπό
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ
Ἐκκλησίας

Ἐγκρίσει τῆς Ἁγίας καί Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ἔκδοσις Ἱεροῦ Ναοῦ Ὁσίας Ζένης Χαριλάου - Θεσσαλονίκης

Ἐπιμελείᾳ
† Πρωτοπρεσβυτέρου Δημητρίου Καταβέλου

Θεσσαλονίκη 1980

COPYRIGHT 1980 *Ιερός Ναός Ὁσίας Ξένης Χαριλάου.*


Η ΑΓΙΑ
ΞΕΝΗ
Η ΟΣΙΑ



*Λειψανοθήκη εὑρισκομένη εἰς τόν Νέον Ἱερόν Ναόν τῆς Ὁσίας Ξένης, ἔνθα φυλάσσεται τό ἐκχωρηθέν ὑπό τοῦ Μητροπολιτικοῦ Ναοῦ Τιμίου Προδρόμου Καβάλας ἐλάχιστον τμῆμα ἐκ τοῦ Ἁγίου Λειψάνου τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης.*



*Ὁ Νέος περικαλλής Ἱερός Ναός Ὁσίας Ξένης Χαριλάου, ἐγκαινιασθείς τό ἔτος 1967, ἁγιογραφημένος μέ ὡραίας βυζαντινάς παραστάσεις.*



*Ὁ παλαιός Ἱερός Ναός Ὁσίας Ξένης Χαριλάου, ἤδη ἐξωραϊζόμενος καί ἐπισκευαζόμενος μέ προϋπολογισμόν δαπάνης 1.850.000 δρχ.*





Ἡ Ἱερά καί Ἁγία Εἰκών τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, φυλασσομένη εἰς τόν παλαιόν Ἱερόν Ναόν, ἐπί τῆς ὁδοῦ Παπαναστασίου.

*ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ*
*Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ*
*ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ*
*ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ.Τ. 140)*

*ΑΡΙΘ. ΠΡΩΤ. 3474*
*ΔΙΕΚΠ. 2152*

*ΑΘΗΝΗΣΙ ΤΗ 23. 10. 1980*
*ΘΕΜΑ:*

*Πρός*
*Τόν Σεβασμιώτατον Μητροπολίτην*
*Θεσσαλονίκης κ. Παντελεήμονα*

*Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,*

*Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. Πρωτ. 486/12. 8. 1980 ὑμετέρου ἐγγράφου δι' οὗ ὑποβάλλετε τήν 'Ακολουθίαν τῆς 'Οσίας Μητρός ἡμῶν Ξένης, ποιηθεῖσαν ὑπό τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Συνοδικῇ ἀποφάσει ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 10. 10. 1980 κατόπιν τῆς ὑπ' ἀριθμ. 12/12. 9. 1980 Εἰσηγήσεως τῆς Συνοδικῆς 'Επιτροπῆς Θ. Λατρείας καί Ποιμαντικοῦ Ἔργου, ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν, καθ' ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ' ἡμᾶς 'Αγιωτάτης 'Ορθοδόξου 'Εκκλησίας περιέχεται ἐν αὐτῇ καί παρακαλοῦμεν ὅπως κατά τήν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω 'Ιερᾶς 'Ακολουθίας διά τό 'Αρχεῖον τῆς Συνοδικῆς 'Επιτροπῆς Ποιμαντικοῦ Ἔργου καί Θείας Λατρείας.*

*'Επί τούτοις κατασπαζόμενοι τήν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.*



*ΚΟΙΝΟΠΟΙΗΣΙΣ*
*Συνοδικήν 'Επιτροπήν Θ. Λατρείας*
*Παρ' 'Ημῖν*

*Ο ΑΡΧΙΓΡΑΜΜΑΤΕΥΣ*
*ὑπογραφή*
*ΑΡΧΙΜ. ΙΕΡΩΝΥΜΟΣ ΛΙΑΠΗΣ*

*ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ*
*ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ*
*Ἀριθμ. Πρωτ. 486* — *12. 8. 1980*

*Πρός*
*τόν Μακαριώτατον Ἀρχιεπίσκοπον*
*Ἀθηνῶν καί πάσης Ἑλλάδος*
*Κύριον Κύριον ΣΕΡΑΦΕΙΜ*
*Πρόεδρον τῆς Ἱερᾶς Συνόδου*
*τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*
*ΑΘΗΝΑΣ*

*Μακαριώτατε Πάτερ καί Δέσποτα,*

*Διά τοῦ παρόντος ἡμῶν ἐγγράφου, πάνυ εὐλαβῶς παρακαλοῦμεν τήν Ὑμετέραν πεπνυμένην μοι Μακαριότητα ὡς καί τήν περί Αὐτήν Ἱεράν Σύνοδον, ὅπως ἀγαθυνομένη ἐγκρίνῃ τήν Ἀκολουθίαν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, ἥτις ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπό τοῦ Ὁσιολογιωτάτου Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.*

*Ἐγκαρδίως εὐχαριστοῦντες Ὑμᾶς ἐκ τῶν προτέρων, διατελοῦμεν*

*Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ*
*Ο ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΠΑΝΤΕΛΕΗΜΩΝ*

## ΠΡΟΛΟΓΟΣ

*Μεταξύ τοῦ χοροῦ τῶν Ὁσιοπαρθένων ἐξέχουσαν θέσιν κατέχει ἡ Ὁσία Μήτηρ ἡμῶν Ξένη.*

*Αὕτη καταγομένη ἐκ τῆς πρεσβυτέρας Ρώμης, γονεῖς ἔσχεν ἐπιφανεῖς καί πλουσίους, μέ βαθεῖαν πίστιν πρός τόν Θεόν, παρ' ὧν ἔτυχεν ἐπιμεμελημένης ἀνατροφῆς «ἐν παιδείᾳ καί νουθεσίᾳ Κυρίου».*

*Ἐλθοῦσα εἰς νόμιμον ἡλικίαν, ἐζητήθη παρά πλουσίου νέου, ἐξ οἰκογενείας ἀνωτέρας τάξεως προερχομένου, μεθ' οὗ καί ἐμνήστευσαν αὐτήν οἱ γονεῖς αὐτῆς. Ἀλλ' αὕτη ἡ μακαρία, δεχθεῖσα ἐν τῇ ψυχῇ τήν φλόγα τῆς θείας ἀγάπης, εἶχεν ἤδη ἀφιερωθῆ εἰς τόν οὐράνιον νυμφίον Χριστόν, χωρίς τοῦτο νά γνωρίζουν οἱ γονεῖς αὐτῆς. Καί ἐνῷ ἡτοιμάζοντο τά τοῦ γάμου, ἀνεχώρησε κρυφίως ἐκ τοῦ πατρικοῦ οἴκου, μετά δύο θεραπαινίδων αὐτῆς, καί εὑροῦσα πλοῖον ἔφθασεν εἰς Ἀλεξάνδρειαν τῆς Αἰγύπτου καί ἐκεῖθεν εἰς τήν νῆσον Κῶν, ὅπου εὗρεν ὅσιον τινά Μοναχόν, πεπληρωμένον θείας χάριτος, ὀνόματι Παῦλον, εἰς ὅν μεθ' ὅλης τῆς ψυχῆς προσῆλθε, ταχθεῖσα ὑπό τήν πνευματικήν αὐτοῦ ὁδηγίαν καί προστασίαν.*

*Ἀναχωρῶν οὗτος ἐκεῖθεν διά τήν ἑαυτοῦ πατρίδα Μύλασσαν, πόλιν τῆς ἐν Μικρᾷ Ἀσίᾳ Καρίας, ἠκολούθησε καί αὕτη μετά τῶν θεραπαινίδων, καί ἔφθασαν ἐκεῖ πλήρεις πνευματικῆς χαρᾶς. Ἀναχωροῦσα ἡ Ὁσία ἐκ Ρώμης, ἤλλαξεν τό ὄνομά της διά νά ἀγνοηθῇ τελείως, καί ἀντί Εὐσεβίας ὡς ἐκαλεῖτο, ὠνομάσθη Ξένη.*

*Ἐν Μυλάσσῃ, εὐλογοῦντος τοῦ πνευματικοῦ αὐτῆς πατρός Ὁσίου Παύλου, ἵδρυσε Μοναστήριον ἐπ' ὀνόματι τοῦ Ἁγίου Πρωτομάρτυρος Στεφάνου, ἔνθα ὑπεβλήθη εἰς αὐστηροτάτους ἀσκητικούς ἀγῶνας, δι' ὧν κατέστη δοχεῖον καί κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, καί πλήρης θείου φωτός, ἡ δέ φήμη τῆς ἀρετῆς αὐτῆς συνήθροισεν ἐν τῇ Μονῇ οὐκ ὀλίγας παρθένους, τῶν ὁποίων κατέστη ἡγουμένη καί ἀσφαλής ὁδηγός πρός ἀρετῆς τελειότητα.*

*Προϊδοῦσα τήν ἑαυτῆς ἐκδημίαν πρός Κύριον, καί νουθετήσασα ὡς ἔδει τάς ὁσίας ἀδελφάς, μετέστη πρός τάς οὐρανίους μονάς τῇ κδ΄. Ἰανουαρίου, ἀγνώστου οὔσης τῆς χρονολογίας τῆς κοιμήσεως αὐτῆς, τυχοῦσα πανδήμου καί συγκινητικῆς κηδείας, ὁ δέ Κύριος ἄνωθεν διά κύκλου φωτεινῶν ἀστέρων καί Σταυροῦ ἐφανέρωσε καί ἐδόξασεν αὐτήν. Πάντα δέ τά ἑαυτῆς διηγήσατο καί κατέστησε γνωστά τοῖς πᾶσι, μετά τό ἅγιον τῆς Ὁσίας τέλος, μία τῶν θεραπαινίδων αὐτῆς, ὡς περιγράφονται ἐν τῷ κατά πλάτος βίῳ αὐτῆς.*

*Τό σεπτόν τῆς μακαρίας Ξένης λείψανον, χαριτωθέν θείῳ Πνεύματι, ἐσώζετο ἐν Μυλάσσῃ, θαυματουργοῦν καί πλείστας ἰάσεις παρέχον, ἀλλά λόγῳ τῆς ὀλεθρίου Τουρκικῆς ἐπιδρομῆς, μετεφέρθη εἰς Κωνσταντινούπολιν καί ἐκεῖθεν εἰς Σηλυβρίαν τῆς Θράκης, καί κατά τό 1922, κατά τήν ἀνταλλαγήν τῶν πληθυσμῶν, εἰς τήν Ἑλλάδα. Εἰς τήν Καβάλαν σώζεται τό πλεῖστον αὐτοῦ, ἐν τῷ ἐκεῖ Μητροπολιτικῷ ναῷ τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου, καί ἐν Νικαίᾳ Πειραιῶς τμῆμα, μεταφερθέν ὑπό εὐσεβῶν Μυλασσέων, ὅπου καί ναόν ἤγειραν ἐπ' ὀνόματι τῆς Ὁσίας.*

*Ἀλλά καί ἡ μεγαλόπολις Θεσ/νίκη κέκτηται μεγαλοπρεπῆ Ἱερόν Ναόν τῆς Ὁσίας, ἐν τῇ συνοικίᾳ «Χαριλάου», ἔνθα φυλάσσεται μέρος τῶν ἐκχωρηθέντων ὑπό τοῦ Μητροπολιτικοῦ Ναοῦ, τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου Καβάλας, ἱερῶν λειψάνων, τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, τῇ ἐγκρίσει τῆς Ἱερᾶς Μητροπόλεως Νεαπόλεως, Φιλίππων καί Θάσου, καί μέ πᾶσαν πνευματικήν μεγαλοπρέπειαν, πανηγυρίζει τήν μνήμην αὐτῆς.*

*Εἰς τόν Ἱερόν ἐνοριακόν τοῦτον ναόν διακονοῦντες Χάριτι Θεοῦ, διεπιστώσαμε τήν προφανῆ ἔλλειψιν πλήρους ᾀσματικῆς ἀκολουθίας τῆς Ὁσίας διά τόν λαμπρότερον ἑορτασμόν τῆς ἱερᾶς αὐτῆς μνήμης, δι' ὅ, εὐλογίᾳ καί προτροπῇ τοῦ Παναγιωτάτου Πατρός καί Μητροπολίτου ἡμῶν κ.κ. Παντελεήμονος, ἀπετάθημεν εἰς τόν ἐν Ἁγίῳ Ὄρει ἀσκούμενον Ὁσιολογιώτατον Μοναχόν Γέροντα Γεράσιμον Μικραγιαννανίτην, Ὑμνογράφον τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ὅστις ἀρίστως συνέταξε τήν παροῦσαν πλήρη καί πανηγυρικήν ἀκολουθίαν μετά παρακλητικοῦ κανόνος καί χαιρετισμῶν, ἥτις ἐγκριθεῖσα παρά τῆς Ἱερᾶς Συνόδου, καί ἐν συνεχείᾳ ἐκδοθεῖσα, παραδίδοται τῷ εὐσεβεῖ πληρώματι τῆς Ἁγίας Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, πρός δόξαν Θεοῦ καί τιμήν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, ἧς ἡ χάρις καί ἡ βοήθεια εἴησαν μετά πάντων ἡμῶν.*

*Ἐν Θεσσαλονίκῃ τῇ 17η Νοεμβρίου 1980*
*Πρωτοπρεσβύτερος Δημήτριος Ἀγγ. Καταβέλος*
*Ἱερατικῶς Προϊστάμενος τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης*

Ιερεύς
Μπουρόπουλος Νικόλαος

ΙΕΡΟΣ ΝΑΟΣ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ Κ'
ΑΓΙΑΣ ΠΑΡΑΣΚΕΥΗΣ
ΚΥΨΕΛΗΣ

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΞΕΝΗΣ

ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙΩ ΟΡΕΙ
ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΤΟΣ : 19 - 1 - 2005

# ΙΑΝΟΥΑΡΙΟΥ ΚΔ΄.
# ΜΝΗΜΗ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΞΕΝΗΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τόν δι᾽ ἡμᾶς ξενωθέντα δι᾽ ἀγαθότητα, ποθήσασα Ὁσία, ὁλοτρόπῳ καρδίᾳ, ἁπάντων ἐξενώθης τῶν γεηρῶν, καί αὐτῷ ἠκολούθησας· ἐντεῦθεν ξένων ἠξίωσαι δωρεῶν, Ξένη Μῆτερ παμμακάριστε.

Μεταναστεύουσα πρώην τῇ διαθέσει σεμνή, καί βεβαιοῦσα ἔργῳ, τό κριθέν σοι ἐννοίᾳ, ἐξῆλθες τῆς ματαίας τῶν ἡδονῶν, μακαρία λειότητος, καί ἀρετῶν τῇ τραχείᾳ εὐθυδρομεῖς, ἀναβάσει ξενιτεύσασα.

Ἐν τῷ λιμένι τοῦ θείου προσορμισθεῖσα ἰσθμοῦ, διαπερᾷς κυμάτων, τῶν τοῦ κόσμου τόν σάλον· ψυχῆς δέ σου τό πλοῖον ὅλον σεμνή, ἀδιάκλυστον φέρουσα, ἐξ ἡδονῶν τῆς πικρίας τῶν μυστικῶν, ἀγωγίμων μένεις ἔμπλεως.

Θεοπρεπεῖ τῇ μιμήσει σύ ξενιτεύσασα, τοῦ δι᾽ ἡμᾶς ἐξ ἄνω, πρός ἡμᾶς κατελθόντος, ὑψῶσαι τούς πεσόντας μένεις σεμνή, συγγενέσι μέν ἄγνωστος, ἀλλ᾽ εὐσεβέσι γνωστή ὡς πρός τόν Θεόν, Ξένη πάντοτε πρεσβεύουσα.

Δόξα. Ἦχος α΄.

Τῷ πυρί τῆς θείας ἀγάπης, ἀναφλεχθεῖσα τήν ψυχήν, ἀσκητικοῖς καμάτοις ἔλαμψας, ὡς λαμπάς θεόφωτος, Ξένη πανεύφημε· πᾶσαν γάρ ὕλην ἀποθεμένη, ἔξω κόσμου καί σαρκός ἐβίωσας, τῷ σῷ νυμφίῳ Χριστῷ ἀναγομένη· οὗ νῦν τῆς δόξης τρυφῶσα, καί τό ἄχραντον κάλλος ὁρῶσα, πρέσβευε δεόμεθα, ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορῶσα πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ξένη ἐπί τῆς γῆς, ζωήν πολιτευθεῖσα, ὦ Ξένη μακαρία, ξενίας οὐρανίου, περιφανῶς ἠξίωσαι.

Στίχ. Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι...

Κάλλος παρθενικόν, ἀσκήσεως ἀγῶσι, λαμπρότερον Κυρίῳ, παρέστησας ῾Οσία, τῷ σέ λαμπρῶς δοξάσαντι.

Στίχ. Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου...

Βρύει σου ἡ σορός, ἡ τῶν λειψάνων Μῆτερ, ἰάσεων τά ρεῖθρα, καί ἄνθρακας σβεννύει, πολυειδῶν κακώσεων.

Δόξα. Τριαδικόν.

Δύναμιν πανσθενῆ, ἐκ σοῦ Τριάς ῾Αγία, Πάτερ Υἱέ καί Πνεῦμα, λαβοῦσα ἡ ῾Οσία, ἀσκητικῶς ἠρίστευσε.

Καί νῦν. Θεοτοκίον.

Ἔσχες ἐν τῇ γαστρί, ἀνερμηνεύτῳ λόγῳ, τόν φέροντα τά πάντα, καινίζοντα Παρθένε, ἡμᾶς δι᾿ ἀγαθότητα.

Νῦν ἀπολύεις, τό τρισάγιον, τό ᾿Απολυτίκιον ἐκ τοῦ Μεγάλου ῾Εσπερινοῦ καί ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετά τόν Προοιμιακόν, τό μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

῏Ηχος β΄. ῞Οτε ἐκ τοῦ ξύλου.

Ξένην φερωνύμως βιοτήν, πάντων τῶν ἐν κόσμῳ ἡδέων, σοφῶς ἐβίωσας, Ξένη παμμακάριστε, νύμφη Χριστοῦ τοῦ Θεοῦ· διά τοῦτο δεδόξασαι, δυνάμεσι θείαις, καί ξένοις χαρίσμασι, Πνεύματος χάριτι. ῞Οθεν τήν ἁγίαν σου μνήμην, χαίροντες τελοῦμεν ῾Οσία, καί τόν σέ δοξάσαντα δοξάζομεν.

Γένους περιφάνειαν σεμνή, ἔρωτι τρωθεῖσα τῷ θείῳ, ἐμφρόνως ἔλιπες, πλοῦτον διαρρέοντα, καί δόξαν πρόσκαιρον, καί μνηστῆρα τόν γήϊνον, καί τῷ ἀθανάτῳ, χαίρουσα μεμνήστευσαι, ὡς καλλιπάρθενος· ὅθεν οὐρανίων θαλάμων, Ξένη θεοφόρε μετέσχες, κάλλος καθορῶσα τό ἀμήχανον.

Λάθρα τῆς πατρίδος σου σεμνή, καί τῆς πατρικῆς σου ἑστίας, ἀναχωρήσασα, ἄρασα ἐπ᾿ ὤμων σου, τόν τοῦ Σωτῆρος ζυγόν, ἀνενδότῳ φρονήματι, καί διά θαλάσσης, ἐπί ᾿Αλεξάνδρειαν, καί Κῶν χωρήσασα, εὗρες ὅ ἐζήτεις ῾Οσία, πάντων τῶν φθαρτῶν νεκρωθεῖσα, μετά τῶν διττῶν θεραπαινίδων σου.

Παύλῳ τῷ θεράποντι Θεοῦ, Μῆτερ κολληθεῖσα ὁσίως, ὡς πλήρει χάριτος, σύν αὐτῷ προσέδραμες, εἰς πόλιν Μύλασσαν, ἔνθα οἶκον δομήσασα, Στεφάνῳ τῷ θείῳ, τύπον θείων πράξεων, σαυτήν παρέστησας, Ξένη ταῖς σεμναῖς μοναστρίαις, καί τοῦ ἀρχεκάκου Βελίαρ, πᾶσαν τήν ἰσχύν καταπεπάτηκας.

῞Οτε ὁ νυμφίος σου Χριστός, πρός τούς οὐρανίους θαλάμους, σέ προσελάβετο, τότε διά κύκλου σε ἀστέρων ἔδειξε, οὐρανόθεν τοῖς πέρασι, τήν σήν φανερώσας, δόξαν καί λαμπρότητα, ῾Οσία ἅπασι· ὅθεν καί ἰάματα πλεῖστα, ἔβλυσε τό θεῖόν σου σκῆνος, Ξένη πρός ταφήν σεπτῶς ἀγόμενον.

Κρήνην ἰαμάτων δαψιλῆ, ἔσχε σου τό ἅγιον σκῆνος, πάλαι ἡ Μύλασσα, καί ἡ Σηλυβρία δέ αὐτῷ πλουτήσασα, ἐν αὐτῷ Μῆτερ ἔχαιρεν, ἡμεῖς δέ ἐκ τούτου, τμήματα κατέχοντες, ἁγιαζόμεθα. ῞Οθεν καί τήν θείαν σου μνήμην, ἐν τῷ ναῷ συνελθόντες, Ξένη γηθοσύνως ἑορτάζομεν.

Δόξα. ῏Ηχος πλ. β΄.

Σήμερον ὡς σελήνη πλησιφαής, ἡ τῆς ῾Οσίας Ξένης μνήμη, τῇ ᾿Εκκλησίᾳ ἀνέτειλεν· ἐκ τοῦ ῾Ηλίου γάρ τοῦ νοητοῦ,

τό φῶς λαμβάνουσα, καταλαμπρύνει τούς βοῶντας· χαίροις ἡ τήν γυναικείαν ἀσθένειαν ἀπορρίψασα, καί πρός ἀνδρικούς ἀγῶνας, στερροτάτῃ ψυχῇ χωρήσασα· χαίροις ἡ προσφυεῖ προσηγορίᾳ, τήν οἰκείαν ζωήν δηλοῦσα, ὡς οὐρανόφρων ἐν πᾶσι· χαίροις Παρθένων ἀγλάϊσμα, Ὁσίων δόξα, καί τῶν Ἀγγέλων ἰσοστάσιε· μεθ' ὧν πρέσβευε τῷ σῷ νυμφίῳ Χριστῷ, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

Καί νῦν. Ὁ αὐτός.

Τίς μή μακαρίσει σε Παναγία Παρθένε, τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος, ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

Παροιμιῶν τό Ἀνάγνωσμα.

(Κεφ. λα΄. 10 — 26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καί λῖνον, ἐποίησεν εὔχρηστον ταῖς χερσίν αὐτῆς. Ἐγένετο ὡσεί ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δέ αὕτη τόν βίον. Καί ἀνίσταται ἐκ νυκτῶν, καί ἔδωκε βρώματα τῷ οἴκῳ, καί ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπό δέ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τήν ὀσφύν αὐτῆς, ἤρεισε τούς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τό ἐργάζεσθαι, καί οὐκ ἀποσβέννυται ὅλην τήν νύκτα ὁ λύχνος αὐτῆς. Τάς χεῖρας αὐτῆς ἐκτείνει ἐπί τά συμφέροντα, τούς δέ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δέ αὐτῆς διήνοιξε πένητι, καρπόν δέ ἐξέτεινε πτωχῷ. Ἰσχύν καί εὐπρέπειαν ἐνεδύσατο, καί εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. ε΄. 15 — στ΄. 3)

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἡ ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. δ΄. 7 — 15)

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώ-

ποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνετο πάλαι, ἡ τῆς Καρίας Μύλασσα, τῷ τιμίῳ λειψάνῳ σου, καυχωμένη Ὁσία· ἡμεῖς δέ ἐξ αὐτοῦ πλουτοῦντες, χάριν καί ἔλεος καρπούμεθα, καί βελτίωσιν ἠθῶν, καί ἱλασμόν πταισμάτων· καί τῷ ἁγίῳ σου ναῷ προστρέχοντες, ἐναργῶς κομιζόμεθα, τῆς προστασίας σου τάς δωρεάς· καί τήν θείαν σου τελοῦντες μνήμην, εὐλαβῶς βοῶμέν σοι· Ξένη Ὁσία Μῆτερ, μή παύσῃ πρεσβεύουσα, ὑπέρ τῶν τιμώντων σε.

Ὁ αὐτός.

Ρώμη ἡ περίβλεπτος, ὡς ρόδον σέ ἤνθησε, καί Μύλασσα δεξαμένη σε, τῷ Χριστῷ προσήγαγεν, ἀσκητικῶς γεωργηθεῖσαν· πᾶσα δέ ἡ Ἐκκλησία, τῇ εὐωδίᾳ τοῦ βίου σου, εὐφράνθη Ὁσία· ὡς γάρ νεᾶνις ἐκλεκτή, εἰς ὀσμήν μύρων Χριστοῦ ἔδραμες, καί τούς ἱδρῶτας τῶν καμάτων σου, ὑπέρ μύρα καί ἀρώματα, αὐτῷ προσενήνοχας· ὅθεν ἀξίως δοξασθεῖσα, Ξένη μακαρία, ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τήν τοῦ βίου περιφάνειαν, καταλιποῦσα ὡς πρόσκαιρον, ἐπτερώθης θείῳ ἔρωτι, πρός δόξαν τήν κρείττονα· καί τῷ Χριστῷ νυμφευθεῖσα, φθαρτοῦ νυμφίου κοινωνίαν, ἐμφρόνως ἀπώσω, ἀπανθούσης μακρυνθεῖσα εὐκλείας· σύ γάρ ἐν κόσμῳ νεκρωθεῖσα, πρός ζωήν ὑπερκόσμιον, διά μεγίστων καμάτων, ἔσπευσας Μῆτερ· καί νῦν τυχοῦσα τῆς ἐφέσεως, ἐν οὐρανίοις αὐλίζῃ θαλάμοις, ὑπέρ ἡμῶν Χριστῷ πρεσβεύουσα, Ξένη παναοίδιμε.

Ἦχος γ΄.

Ξενωθεῖσα τῶν φθαρτῶν, καί τήν φερώνυμον κλῆσιν προσηκαμένη, ξενοτρόπως ἐβίωσας, τῇ ξένῃ ἀσκήσει σου, Ξένη Ὁσία θεόσοφε· ἐν γάρ χώρᾳ ξένῃ γεγονυῖα, πάντα τά σά ἀνέθου, τῷ ξένῳ νυμφίῳ σου Χριστῷ, τῷ σέ δυναμώσαντι, τῷ τῆς ἀσκήσεως σκάμματι· καί Παύλου τοῦ Ὁσίου χερσίν, ἰθυνομένη ὁσίως, πρός τόν σκοπόν τῆς ἄνω κλήσεως, λαμπαδηφόρος ἀνέδραμες, οἷα φρονίμη παρθένος. Ἀλλ' ὡς τόν καρπόν δρεπομένη τῆς ζωῆς, ἱκέτευε Μῆτερ, τυχεῖν καί ἡμᾶς ζωῆς τῆς κρείτονος.

Δόξα. Ἦχος δ΄.

Τήν ἐν Ὁσίαις παρθένον, καί νύμφην Χριστοῦ ἀμώμητον, Ξένη τήν θεόφρονα, πᾶς ὁ λαός τοῦ Θεοῦ, ὕμνοις καί ᾠδαῖς τιμήσωμεν· ὡς ξένη γάρ καί πάροικος, πολιτευθεῖσα ἐπί γῆς, τῷ δι' ἡμᾶς ξενωθέντι Χριστῷ, περιφανῶς εὐηρέστησεν, ἀσκητικοῖς ἀγῶσιν· ὅθεν τόν βίον αὐτῆς, ὁ τῆς δόξης δοξάζων Κύριος, δι' ἀστέρων φαεινῶν, οὐρανόθεν ἐν κύκλῳ φανέντων πᾶσιν ὑπέδειξεν, οἵας δόξης καί τιμῆς ταύτην ἠξίωσεν, ὡς καλῶς ἠγωνισμένην, καί οἰκείαν θεράπαιναν· καί δι' αὐτῆς ἡμῖν δωρεῖται, πλῆθος οἰκτιρμῶν, καί ἰάματα ψυχῆς τε καί σώματος.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ὁσία Ξένη σεμνή, θείας ἀγάπης ὁ λειμών ὁ μυρίπνοος, ἁγνείας ἄνθος εὐῶδες, τῶν ἀρετῶν λαμπηδών, νύμφη τοῦ Σωτῆρος παναμώμητος· παρθένων ἀγλάϊσμα, ἐγκρατείας κειμήλιον, τῆς ἀπαθείας, μυροθήκη πολύτιμος, θείας χάριτος, μυροφόρον ἀλάβαστρον· στήλη ἡ θεοτύπωτος, ἠθῶν τῆς ἀσκήσεως, τῆς κατανύξεως ρεῖθρον, τοῦ Παρακλήτου θησαύρισμα· Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι...

Χαίροις Ὁσία Ξένη σεμνή, ἡ ξενωθεῖσα τῶν γηΐνων τῆς σχέσεως, ἀγάπῃ κραταιοτάτῃ, τοῦ σοῦ νυμφίου Χριστοῦ, καί φθαρτόν μνηστῆρα καταλείψασα· ἐντεῦθεν ἰσάγγελον, πολιτείαν ἐζήλωσας, καί ἠγωνίσω, ἐν σαρκί ὥσπερ ἄσαρκος, θείου Πνεύματος, ἀνδρωθεῖσα τῇ χάριτι· ὅθεν λαμπρῶς δεδόξασαι, πλουσίοις χαρίσμασι, καί οὐρανίων θαλάμων, περιφανῶς κατηξίωσαι, Χριστόν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου...

Χαίροις Ὁσία Ξένη σεμνή, ἡ ξένον βίον ἐν Μυλάσσῃ βιώσασα, καί μόνον Χριστοῦ τό κάλλος, ἀναζητοῦσα θερμῶς, φύσεως τούς ὅρους ὑπερβέβηκας, συντόνῳ ἀσκήσει σου, καί στερροῖς ἀγωνίσμασι, δι᾽ ὧν ἐπλήσθης, οὐρανίου ἐλλάμψεως, καί ἠμαύρωσας, τοῦ ἐχθροῦ τά σοφίσματα· ὅθεν ἐν τῷ ἁγίῳ σου, ναῷ ἀθροιζόμενοι, τήν σήν παγγέραστον μνήμην, περιχαρῶς ἑορτάζομεν, Χριστόν ἀνυμνοῦντες, τόν δοξάσαντά σε Μῆτερ, θαυμάτων χάρισι.

Δόξα. Ἦχος πλ. δ΄.

Στομωθεῖσα τήν ψυχήν, θείας ἀγάπης τῇ δυνάμει, ὑπέρ φύσιν ἀγῶνας, ἐν γυναικείῳ σώματι, Μῆτερ Ὁσία ἠγώνισαι· ὅλῳ νοΐ γάρ προσβλέπουσα, τῷ σῷ νυμφίῳ καί Σωτῆρι, παρ᾽ αὐτοῦ ἐδέχου κράτος ἀπροσμάχητον· καί τόν τύραννον ἐχθρόν, καταβαλοῦσα τοῖς πόνοις σου, ἅπαντας ἐξέπληξας, τῇ πολιτείᾳ σου Ξένη θεόληπτε. Ἀλλ᾽ ὡς ἔχουσα παρρησίαν, ἀδιαλείπτως ἱκέτευε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τό τρισάγιον, καί τά Ἀπολυτίκια.

Ἦχος πλ. α΄. Τόν Συνάναρχον Λόγον.

Τήν Ἀμνάδα Κυρίου τήν καλλιπάρθενον, τήν Ὁσίαν νῦν Ξένην ἀνευφημοῦντες πιστοί, καί ἀγγέλοις ὁμοδίαιτον ὑμνήσωμεν, τήν τοῦ κόσμου τά τερπνά καί τήν δε πρόσκαιρον ζωήν ὡς ὄναρ λογισαμένην, ὑπέρ ἡμῶν δέ Κυρίῳ, ἀδιαλλείπτως πρεσβεύουσαν.

Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τήν ξένην βιοτήν σου μεγαλύνων ὁ Κύριος, Ὁσία Μῆτερ Ξένη θαυμαστῶς σε ἐδόξασε, καί μέτοχον πλουσίων δωρεῶν, ὡς νύμφην σε ἀνέδειξεν αὐτοῦ· διά τοῦτο ἀναβλύζεις χάριν ἀεί, τοῖς κράζουσί σοι πάνσεμνε· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Ξένην ἤνυσας, ζωήν ἐν κόσμῳ, ξένην ἔσχηκας, προσηγορίαν, ὑπεμφαίνουσαν τῇ κλήσει τόν τρόπον σου· σύ γάρ νυμφίον λιποῦσα τόν πρόσκαιρον, τῷ ἀθα-

νάτῳ ὁσίως νενύμφευσαι. Ξένη ἔνδοξε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Θεοτοκίον.

Σέ τήν μεσιτεύσασαν...

᾿Απόλυσις.

Εἰς τόν Ὄρθρον.

Μετά τήν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Ως πέφευγας σεμνή, ἐκ τοῦ οἴκου σου λάθρα, γονέων τήν στοργήν, καί τήν σχέσιν λιποῦσα, καί πλοῦτον τόν ἐπίγειον, καί μνηστῆρα τόν πρόσκαιρον, ἀγαπήσασα, τήν τοῦ Σωτῆρος πτωχείαν, ἠκολούθησας, αὐτοῦ τοῖς ἴχνεσι Μῆτερ, ὡς ἄγγελος ζήσασα.

Θεοτοκίον.

Αγάπῃ τῇ θερμῇ, τοῦ Υἱοῦ σου Παρθένε, τρωθεῖσα τήν ψυχήν, ἡ θεόληπτος Ξένη, ὡς ξένη τε καί πάροικος, τῶν ἐν κόσμῳ ἐβίωσε, καί προσήγαγε, τούτῳ ὡς εὔοσμον μύρον, τῆς ἀσκήσεως, τῆς ἱερᾶς τούς ἱδρῶτας· ἐντεῦθεν δεδόξασται.

Μετά τήν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Ξενοτρόπως ἐν κόσμῳ Μῆτερ βιώσασα, οὐκ ἐγνώσθης τίς ἦσθα τοῖς σέ ὁρῶσι σεμνή· διά τοῦτο ὁ Χριστός ἐν τῷ τέλει σε, δι᾿ ἀστέρων φαεινῶν, οὐρανόθεν φανεροῖ, τοῖς πᾶσιν ῾Οσία Ξένη, καί δόξαν ἥν σοι παρέχει, ὁ δοξασθείς ἐν τῇ ἀσκήσει σου.

Θεοτοκίον.

Απορρήτως Παρθένε Χριστόν κυήσασα, τόν τῆς ἀρχαίας κατάρας ἅπαν τό γένος ἡμῶν, λυτρωσάμενον ῾Αγνή δι᾿ ἀγαθότητα, καί δοξάσαντα λαμπρῶς, τῶν θαυμάτων δωρεᾷ, τήν Ξένην τήν πανοσίαν, αὐτόν δυσώπει ὡς Μήτηρ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος γ΄. Τήν ὡραιότητα.

Τήν ὡραιότητα, Χριστοῦ ποθήσασα, τούτῳ μεμνήστευσαι, ὡς καλλιπάρθενος, καί προσενήνοχας αὐτῷ, ὡς προῖκα ἁγίαν Μῆτερ, σώματος τήν νέκρωσιν, καί ψυχῆς τήν λαμπρότητα, καί τάς τῆς ἀσκήσεως, εὐαγεῖς ἀριστείας σου, καί δόξαν ἀνεδήσω τήν θείαν, Ξένη ῾Οσία θεοφόρε.

Θεοτοκίον.

Τόν ὑπερούσιον, Λόγον κυήσασα, ἐν ὕλῃ σώματος, ἀτρέπτως Πάναγνε, ἐκ τῶν αἱμάτων σου φρικτῶς, λαβόντα ἡμῶν τήν φύσιν, ἔμψυχον ἀνάκτορον, τοῦ Δεσπότου τῆς κτίσεως, καί ναός περίδοξος, ἀληθῶς ἐχρημάτισας· διό σοι εὐλαβῶς ἐκβοῶμεν· χαῖρε ἡ Κεχαριτωμένη.

Τό α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου καί τό Προκείμενον.

῾Υπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.

Στίχ. Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου...

Εὐαγγέλιον τῶν δέκα Παρθένων.

Ζήτει αὐτό τῷ ιζ΄. Σαββάτῳ τοῦ Ματθαίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...

Παρθενικαῖς ἠγλαϊσμένη χάρισιν, ἀσκητικοῖς ἐλαμπρύνθης ἀγῶσιν, Ὁσιοπάρθενε Ξένη· καί δι᾽ ἀμφοτέρων Χριστῷ εὐαρεστήσασα, λαμπαδηφόρος εἰσῆλθες, εἰς τόν νυμφῶνα τῆς ζωῆς, μεθέξει θείᾳ θεουμένη. Ἀλλ᾽ ὡς τῶν πόθων τήν πλήρωσιν εὑροῦσα, καί τοῦ σοῦ νυμφίου τήν δόξαν ὁρῶσα, ἱκέτευε ὑπέρ τῶν τιμώντων σε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καί τῆς Ἁγίας φέρων τήν δε ἀκροστιχίδα.

«Ξένῳ βίῳ ἔλαμψας ἐν κόσμῳ Ξένη. Γερασίμου».

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ξενοπρεπῶς ἐπί τῆς γῆς βιώσασα, Ξένη Ὁσία σεμνή, ξένων χαρισμάτων, δαψιλῶς τετύχηκας, παρά Θεοῦ θεόπνευστε, ἐξ ὧν δίδου μοι Μῆτερ, σταγόνα ὅπως ὑμνήσω σου, τά τῆς πολιτείας παλαίσματα.

Ἐκ ρίζης Μῆτερ εὐκλεοῦς ἐβλάστησας, οἷα βλαστός εὐθαλής, καί Χριστῷ τῷ Λόγῳ, ὡς καρπούς προσήγαγες, ἁγνείας τήν λαμπρότητα, καί ἀγάπης τόν πλοῦτον, καί τῆς λοιπῆς πολιτείας σου, τά θεοειδῆ κατορθώματα.

Νυμφίον μόνον τόν Χριστόν ποθήσασα, ἐν θερμοτάτῃ ψυχῇ, τῷ φθαρτῷ μνηστῆρι, οὐ προσέσχες πάνσεμνε, ἀλλά τῷ θείῳ ἔρωτι, πτερουμένη Ὁσία, πάντα ὡς ὄναρ λελόγισαι, ἄνω τήν καρδίαν σου ἔχουσα.

Θεοτοκίον.

Ὡραιωθεῖσα καλλοναῖς τοῦ Πνεύματος, Παρθενομῆτορ Ἁγνή, καί τῆς Παρθενίας, ταῖς αὐγαῖς ἀστράπτουσα, σωματοφόρον τέτοκας, ὑπέρ νοῦν τε καί λόγον, τόν ποιητήν πάσης κτίσεως, λύοντα ἀρᾶς τό ἀνθρώπινον.

Καταβασία. Χέρσον ἀβυσσοτόκον...

Ὠδή γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Βίου τήν εὔκλειαν φθαρτοῦ, καί τῶν τεκόντων τήν δόξαν, καταλείψασα ἐμφρόνως Ὁσία, τοῦ ποιμένος τῇ φωνῇ, Χριστοῦ χαίρουσα ἔσπευσας, τοῦ σοῦ νυμφίου Μῆτερ, ὥσπερ ἀμνάς καλλιπάρθενος.

Ἰσχύν λαβοῦσα θεϊκήν, ἐν τῇ ἀπλάστῳ ψυχῇ σου, τῶν ἡδέων καί τερπνῶν ἀντηλλάξω, τήν ἰσάγγελον ζωήν, καί πόνους τῆς ἀσκήσεως, Ξένη ἐπειγομένη, ἰδεῖν Χριστοῦ τήν λαμπρότητα.

Ὥσπερ νεᾶνις ἐκλεκτή, τό πῦρ δεχθεῖσα τό θεῖον, παραυτίκα καταλέλοιπας πᾶσαν, ὑλικῶν τήν μετοχήν, καί κοσμικήν τερπνότητα, ὦ Ξένη μακαρία, ἄϋλον βίον ποθήσασα.

Θεοτοκίον.

Ἐκ τῆς Ἀχράντου σου γαστρός, μετά σαρκός ἐπεφάνη, καί διέσωσεν ἡμᾶς τῆς κατάρας, ὁ τῶν ὅλων Ποιητής, δι᾽ ἔλεος ἀμέτρητον, Θεογεννῆτορ Κόρη, ἁμαρτωλῶν ἱλαστήριον.

Καταβασία. Τό στερέωμα...

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τόν δι' οἶκτον ὀφθέντα ἐπί τῆς γῆς, ἀγαπήσασα Λόγον Θεοῦ Πατρός, αὐτῷ ἠκολούθησας, ὡς νυμφίῳ πανόλβιε, καί φθαρτόν νυμφίον, προθύμως κατέλιπες, καί ἐνεγκαμένην, καί πλοῦτον ἐπίκηρον· ὅθεν ἐπί ξένης, φερωνύμως βιοῦσα, τά πάθη ἐνέκρωσας, καί τῶν ζώντων ἀπείληφας, κληρουχίαν θεόπνευστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Πειρασμοῖς πολυτρόποις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καί ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου, καί ὡς θερμῇ ἀντιλήψει, καί σκέπῃ μου Ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς σῆς ἀγαθότητος· ὅθεν Παναγία, τόν ἐκ σοῦ σαρκωθέντα, ἀσπόρως ἱκέτευε, ὑπέρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε, πρέσβεύουσα αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἀξίως, τόν πανάγιον τόκον σου.

Ὠδή δ΄. Σύ μου ἰσχύς.

Λαμπροφανής, ἡ πολιτεία σου γέγονε, λαμπομένη, ἀπαθείας χάρισι, καί τῶν θαυμάτων τῇ δωρεᾷ, Ξένη μακαρία, μοναζουσῶν ἐγκαλλώπισμα· Χριστῷ γάρ τῷ Σωτῆρι, ἐν ἀσκήσει ἐβόας· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἄνω σεμνή, πρός τόν νυμφίον τόν ἄχραντον, τόν σόν πόθον, ἀνενδότως ἔχουσα, τήν γονικήν ἔλιπες στοργήν, καί λάθρα φυγοῦσα, ἐκ τῆς οἰκίας σου πάνσεμνε, ἐξῆλθες τῆς πατρίδος, καί Χριστόν ὁλοψύχως, ἀνεζήτεις τελείῳ φρονήματι.

Μετά τῶν σῶν, θεραπαινίδων θεόπνευστε, συμφωνίᾳ, γνώμης ἑπομένων σοι, ἀπό τῆς Ῥώμης μετά σπουδῆς, θείᾳ κυβερνήσει, εἰς Ἀλεξάνδρειαν ἔφθασας, καί Κῶν καταλαβοῦσα, τῷ Σωτῆρι ἐβόας· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ψυχῆς τῆς σῆς, ἰδών ὁ Παῦλος ὁ Ὅσιος, θεοφόρε, τήν κρυφίαν ἔλλαμψιν, καί τήν ἀγάπην πρός τόν Χριστόν, ἠγάσθη Ὁσία, τήν πρός τά κρείττω σου ἔφεσιν· ᾧ πίστει κολληθεῖσα, πρός τήν Μύλασσαν Μῆτερ, σύν αὐτῷ παρεγένου ὡς ἄγνωστος.

Θεοτοκίον.

Ἀγγελικαί, χοροστασίαι ἐξίστανται, καθορῶσαι, τήν τῶν μεγαλείων σου, μεγαλοπρέπειαν θαυμαστήν· σύ γάρ τούτοις Κόρη, παρέχεις ἅπασαν ἔλλαμψιν, ἀμέσως δεχομένη, ταύτην ἐκ τῆς Τριάδος, ὡς μεθόριον Κτίστου καί κτίσματος.

Καταβασία. Ἐκάλυψεν οὐρανούς...

Ὠδή ε΄. Ἵνα τί μέ ἀπώσω;

Συντονίᾳ τῶν πόνων, τῶν τῆς μακαρίας ἀσκήσεως ἔνδοξε, σκεῦος χαρισμάτων, θεϊκῶν ἀνεδείχθης θεότευκτον, καί ἐν τῇ Μυλάσσῃ, τῶν ἀρετῶν ταῖς φωταυγείαις, διαλάμπεις Ὁσία θεόληπτε.

Ἐν τῇ κλήσει σου κρύπτεις, τῆς περιφανείας σου Μῆτερ τό εὔδοξον, καί ἐν τούτῳ πᾶσαν, τοῦ Βελίαρ κακίαν ἐγύμνωσας· σύ γάρ ἐν πτωχείᾳ, ἐν ξένῃ χώρᾳ ὥσπερ ξένη, καί πολλῇ ταπεινώσει ἐβίωσας.

Νεκρωθεῖσα τῷ κόσμῳ, οἶκον τήν ψυχήν σου τῆς χάριτος ἔδειξας· ἔνθεν ναόν θεῖον, τῷ Χριστοῦ Πρωτομάρτυρι ἤγειρας, μεθ' οὗ συγχορεύεις, οἷα Χριστοῦ ἄφθορος νύμφη, εἰς ναόν ἐπουράνιον ἔνδοξε.

Θεοτοκίον.

Καθαιρέτης ἐδείχθη, Κόρη ὁ τεχθείς ἐξ ἀχράντων αἱμάτων σου, πάσης ἁμαρτίας, ἀρετῶν φυτουργός δέ ὡς εὔσπλαγ-

χνος, ὧν τήν τρίβον πίστει, Ξένη βαδίσασα ὁσίως, οὐρανίων θαλάμων ἠξίωται.

Καταβασία. Ὡς εἶδεν Ἡσαΐας...

Ὠδή στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ο βίος σου ἀληθῶς, ταῖς ἀρεταῖς σεμνυνόμενος, κανών ἐδείχθη σαφῶς, καί θεῖον ὑπόδειγμα, Ξένη παμμακάριστε, ταῖς ἐφεπομέναις, μοναζούσαις τῇ ἀσκήσει σου.

Σταυρώσασα σεαυτήν, τοῖς ὁρωμένοις θεόπνευστε, ἐγκράτειαν ἀληθῆ, ἀγρυπνίαν πάννυχον, καί νηστείαν σύντονον, ἐξήσκησας Μῆτερ, ὥσπερ ἄσαρκος ἐν σώματι.

Μοναστριῶν καλλονή, καί τῶν παρθένων ὡραῖσμα, καί κῆπος πανευθαλής, βίου καθαρότητος, Ξένη θεοδόξαστε, ἀληθῶς ἐδείχθης, ἐν Μυλάσσῃ τῇ ἀσκήσει σου.

Θεοτοκίον.

Ως τέξασα ἐν σαρκί, τόν φύσει ἀπερiόριστον, γενόμενον ὅ ἐσμέν, δι' ἄφατον ἔλεος, σαρκός μου Πανάμωμε, παῦσον τήν ὀδύνην, καί τόν νοῦν μου καταλάμπρυνον.

Καταβασία. Ἐβόησέ σοι, ἰδών ὁ Πρέσβυς...

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου ῥείθροις.

Τό σόν ξενότροπον Ξένη μνημόσυνον, ἐπιτελοῦντες οἱ πόθῳ τιμῶντές σε, ὑμνοῦμεν Χριστόν τόν ἐν ἅπασι, σοί παρέχοντα ἰσχύν τῶν ἰάσεων· ὅν πάντοτε δυσώπει, ὑπέρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ιλεων Ξένη, τόν ξενοτρόπως ἐκ Παρθένου τεχθέντα, ἐκδυσώπει Χριστόν ἡμῖν γενέσθαι ἀοίδιμε, τοῖς κατά χρέος σοι προσφοιτῶσιν, ἐκ ψυχῆς καί καρδίας καθαρωτάτης, καί εὐσεβῶς τήν σήν μνήμην ὑμνῆσαι σπουδάζουσιν, ἥν πᾶσαι τῶν οὐρανῶν αἱ Δυνάμεις ἀξίως ἐτίμησαν, ὡς φωτοφόρον καί ἄμωμον, καί ἁγίαν πανήγυριν ἔνδοξε, πρεσβεύουσα ἀπαύστως ὑπέρ πάντων ἡμῶν.

Συναξάριον.

Τῇ κδ΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, καί τῶν δύο αὐτῆς θεραπαινίδων.

Στίχ. Ἀποξενοῦται τοῦδε τοῦ βίου Ξένη.

Οὐ ζῶσα καί πρίν, ὡς ἀληθῶς ἦν ξένη.

Θνήσκουσιν ἄμφω τῆς Ξένης αἱ δουλίδες
Οὐ τῶν ἐκείνης ἀρετῶν οὖσαι ξέναι.
Εἰκάδι οὐρανοῦ εἰς ξενίην Ξένη ἦλθε τετάρτῃ.

Η μακαρία αὕτη καί ἀοίδιμος Ξένη, ἐκ τῆς μεγαλοδόξου γέγονε πόλεως Ρώμης, γένους ἐντίμου καί ζηλευτοῦ. Τῶν οὖν γεννητόρων αὐτῆς, γάμῳ ταύτην ἐκδοῦναι βουλομένων, καί τῶν κατά τόν γάμον πάντων εὐτρεπισθέντων, ἐξ αὐτῆς τῆς παστάδος, μεθ' ἑτέρων γυναικῶν, δύο παιδισκῶν, ἀποφυγοῦσα, καί διά θαλάσσης τήν πορείαν ποιησαμένη, ἄλλους ἀμείψασα τόπους, τήν πόλιν τῶν Μυλασσῶν κατέλαβε. Μᾶλλον δέ παρά τοῦ θεσπεσίου Παύλου τοῦ Μοναχοῦ, (ὅς αὐτῇ θεόθεν ἐν Ἀλεξανδρείᾳ φανείς, ὁδηγός γέγονε τῶν κρειττόνων), εἰς τήν τοιαύτην πόλιν κατέστη. Ἔνθα μικρόν εὐκτήριον ἐπ' ὀνόματι τοῦ Ἁγίου Πρωτομάρτυρος Στεφάνου πηξαμένη, ἅμα ταῖς δυσί θεραπαινίσι, καί τινων ὀλίγων Παρθένων συνελθουσῶν, πολλήν ἄσκησιν ἐπεδείξατο, διά πάσης καρτερίας καί ἀποχῆς τῶν κατ' αἴσθησιν ἡδονῶν, εἰς τήν οὐράνιον ἑαυτήν ἄγουσα πολιτείαν. Καλῶς οὖν διεξελθοῦσα τόν βίον, μετά τήν ὁσίαν ἐκείνην καί μακαρίαν τελευτήν, ἀ-

νωθεν ἔσχε τήν μαρτυρίαν. Καί γάρ μεσούσης ἡμέρας, ἡλίου κατά γῆν φωτίζοντος, δι᾽ ἀστέρων ὤφθη Σταυρός· ὅς συνέκλειε, καί εἰς τό μέσον συνεῖχεν ἕτερος ἀστέρων χορός, ὡς δοκεῖν στέφανον αὐτόν εἶναι τῆς μακαρίας, τῆς μακρᾶς ἕνεκα νηστείας, καί ἀγρυπνίας, καί ἀφθορίας ἀντιδοθέντα αὐτῇ πρός Θεοῦ. Καί τοῦτο δῆλον, ὅτι τῇ τοῦ λειψάνου ταύτης ὑπό γῆν ἀποθέσει, οὐκέτι θεατός ἦν ὁ τῶν ἀστέρων χορός τε καί κύκλος. Ἐγνώσθη δέ τά κατά τήν Ὁσίαν, μιᾶς τῶν θεραπαινίδων αὐτῆς, ἐν τῷ μέλλειν τελευτᾶν, διηγησαμένης τήν τῆς μακαρίας πατρίδα, καί τό τοῦ γένους ἐπίσημον, καί τήν ἐκ γονέων προσηγορίαν, Εὐσεβεία γάρ ἐκαλεῖτο· καί ὅτι λαθεῖν σπουδάζουσα, Ξένην ἑαυτήν ἐπωνόμασεν.

Ταῖς αὐτῆς πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄. Παῖδες Ἑβραίων.

Ξένη ἁπάντων τῶν ἐν κόσμῳ, Μῆτερ γέγονας, Χριστῷ οἰκειωθεῖσα, τῇ ἀσκήσει τῇ σῇ· φερώνυμον ἐντεῦθεν, προσηγορίαν ἔσχηκας, καί διέλαθες τούς πάντας.

Εἶχεν ἡ Μύλασσα μέν πάλαι, τό σόν λείψανον, ὡς πλοῦτον ἀφθαρσίας· νῦν ἡμεῖς δέ σεμνή, ἔχοντες τόν ναόν σου, ἐκ τούτου κομιζόμεθα, εὐφροσύνην καί ὑγείαν.

Νόσων ἰῶνται πᾶσαν λύμην, τά σά λείψανα, τῇ θείᾳ ἐνεργείᾳ, ἅ τῇ νεύσει τῇ σῇ, κέκτηνται πλεῖσται πόλεις, ὡς νοητόν ἁγίασμα, Ξένη Μῆτερ μακαρία.

Θεοτοκίον.

Ἤστραψε Κόρη ἐκ γαστρός σου, μετά σώματος ὁ Ἥλιος τῆς δόξης· οὗ φωτί τῷ γλυκεῖ, ἀπέλασον τό σκότος, τό τοῦ νοός μου Ἄχραντε, καί μετάνοιάν μοι δίδου.

Καταβασία. Σέ τόν ἐν πυρί δροσίσαντα...

Ὠδή η΄. Ἑπταπλασίως κάμινον.

Γεγαυρωμένον φρόνημα, τοῦ ἀλάστορος ᾔσχυνας, τῇ σῇ ταπεινώσει Ξένη παμμακάριστε, καί χαίρουσα ἔδραμες, πτεροῖς τοῖς τῶν καμάτων σου, πρός ὑπερκοσμίους, ἐκβοῶσα σκηνώσεις· οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, Χριστόν εἰς τούς αἰῶνας.

Εἰς πᾶσαν γῆν διήχηται, τῆς λαμπρᾶς πολιτείας σου, Ξένη μακαρία φθόγγος ὁ ξενήκουστος· ὡς ξένη γάρ πάνσεμνε, ἐν ξένῃ γῇ βεβίωκας, ἅπαντας λαθοῦσα, καί βοῶσα Κυρίῳ· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Ῥώμην ἀκαταμάχητον, καί ὑγείαν καί λύτρωσιν, ἐκ τοῦ σοῦ λειψάνου Μύλασσα ἐλάμβανε, καί τοῦτο δέ ὕστερον, ἡ Σηλυβρία δέχεται, ὥσπερ θησαυρόν, πλουτοποιῶν δωρημάτων, Ἑλλάς δέ τοῦτο πάλιν, πλουτήσασα καρποῦται, σωτηριώδεις δόσεις, Ξένη Ὁσία Μῆτερ.

Θεοτοκίον.

Ἀδιαφθόρως τέτοκας, καί μαζῷ σου ἐθήλασας, τόν ἐκ τοῦ μή ὄντος πάντα συστησάμενον, καί τρέφοντα ἅπαντα, οἰκείᾳ ἀγαθότητι, λύοντα ἀρᾶς, τῆς παλαιᾶς τούς γενάρχας· διό σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Θεοτόκε, Ὑπερευλογημένη.

Καταβασία. Ἀστέκτῳ πυρί ἑνωθέντες...

Ὠδή θ΄. Ἐξέστη ἐπί τούτῳ.

Στεφάνῳ δι᾽ ἀστέρων ἐν οὐρανῷ, ὁραθέντων Χριστός σε ἐδόξασε, πάσῃ τῇ γῇ, ὅτε σου τό λείψανον τό σεπτόν, πιστῶς δορυφορούμενον, ὑπό πάντων ἤγετο πρός ταφήν· ὅ πάντες κατιδόντες, μεγαλο-

φώνως Μῆτερ, τόν σέ δοξάσαντα ἀνύμνησαν.

Ιδοῦσαι ἐν ναῷ σε πλήρη φωτός, αἱ Μονάστριαι Μῆτερ ἐξέστησαν, καί τῆς ὀσμῆς, τῆς ἐπουρανίου καί θαυμαστῆς, αἰσθόμεναι προσέδραμον, καί περιχυθεῖσαί σοι ἐν κλαυθμῷ, ἐβόων. Μή ἐλλίπῃς, ἡμᾶς ἐκ τῶν ὑψίστων, Ξένη Ὁσία ἐποπτεύουσα.

Μαράνασα τό κάλλος τό αἰσθητόν, τήν ψυχήν σου ἐκάλλυνας πάνσεμνε, ταῖς καλλοναῖς, τῶν κατορθωμάτων σου τῶν σεπτῶν, καί ὅλη καλή ἔδραμες, τῷ ὡραίῳ κάλλει Μῆτερ Χριστῷ· ᾧ νῦν συνηδομένη, μή παύσῃ δυσωποῦσα, ὑπέρ ἡμῶν Ξένη πανεύφημε.

Οὐράνιον νυμφῶνα καί θαυμαστόν, ἔνθα ἦχος ᾀδόντων ἀκούεται, ὕμνον καινόν, τῷ τῶν ὅλων Κτίστῃ καί Βασιλεῖ, περιπολοῦσα πάνσεμνε, καί λαμπρυνομένη θείῳ φωτί, καταύγασον τόν νοῦν μου, Ξένη Ὁσία Μῆτερ, ταῖς φωτοφόροις ἱκεσίαις σου.

Θεοτοκίον.

Υμνοῦμέν σου τήν δόξαν τήν ὑπέρ νοῦν, Ὑπερένδοξε Κόρη Πανύμνητε· ὅτι Θεόν, τέτοκας ἀφράστως μετά σαρκός, καί ὥσπερ ἧς μεμένηκας, πρό τοῦ τόκου ἄφθορος καί Ἁγνή· ἐν σοί γάρ μεγαλεῖα, ὁ τῶν ἁπάντων Κτίστης, καθάπερ ἔφης ἀπειργάσατο.

Καταβασία. Θεοτόκε ἡ ἐλπίς... Ἐν νόμῳ σκιᾷ καί γράμματι...

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ξενίαν τήν οὐράνιον, ποθοῦσα Ξένη πάνσεμνε, ξένην σαυτήν θεοφόρε, πατρίδος πλούτου καί γένους, φιλευσεβῶς πεποίηκας, τόν σταυρόν σου δέ ἄρασα, Χριστῷ προθύμως ἔδραμες, τῷ ξενοτρόπως ἐλθόντι, σῶσαι βροτούς ἐκ Παρθένου.

Θεοτοκίον.

Ωράθης ὑπερέχουσα, τῶν ποιημάτων Δέσποινα, σαρκί τεκοῦσα Παρθένε, Θεόν τῶν ὅλων καί Κτίστην· οὗ τῷ Σταυρῷ ρωννύμεναι, γυναῖκες αἱ θεόφρονες, νεανικῶς ἠρίστευσαν· μεθ' ὧν σε πάντες ὑμνοῦμεν, Εὐλογημένη Μαρία.

Εἰς τούς Αἴνους.

Ἱστῶμεν στίχους δ'. καί ψάλλομεν τά ἑξῆς Προσόμια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Ξένη Ὁσία θεόληπτε, τῇ ἀγαπήσει Χριστοῦ, κοσμικήν ματαιότητα, καί γένους τήν εὔκλειαν, καί μνηστῆρα τόν πρόσκαιρον, καταλιποῦσα κατηκολούθησας, τῷ ἀθανάτῳ νυμφίῳ χαίρουσα· ὢ τῶν ἀγώνων σου! δι' ὧν καταβέβληκας, ἐν ἁπαλῷ, σώματι πανεύφημε, ἐχθροῦ τό φρύαγμα.

Ξένη Ὁσία θεόσοφε, λάθρα οἰκίας τῆς σῆς, οὐρανίῳ φρονήματι, ὡς διψῶσα ἔλαφος, ἐμακρύνθης καί ἔδραμες, εἰς ξένην χώραν ἀσχέτῳ ἔρωτι, ἐπειγομένη πρός τά οὐράνια· ὢ τῆς ἀμέμπτου σου, πολιτείας πάνσεμνε! δι' ἧς Χριστῷ, μυστικῶς νενύμφευσαι, ὡς καλλιπάρθενος.

Ξένη Ὁσία πανεύφημε, ξένην ζωήν ἐπί γῆς, μετά σώματος ἤνυσας, ἐχθρόν τόν ἀσώματον, καθελοῦσα τῷ τρόπῳ σου· ἐντεῦθεν κλῆσιν πρόσφορον ἔσχηκας, καί ξένων ὤφθης χαρίτων μέτοχος· ὅθεν ἑκάστοτε, βλύζεις τά ἰάματα, τοῖς εὐλαβῶς, σπεύδουσι τῇ σκέπῃ σου, καί σέ γεραίρουσι.

Ξένη Ὁσία πανένδοξε, τῶν ὑπέρ νοῦν ἀγαθῶν, καί τῆς δόξης τῆς κρείττονος, ἐντρυφῶσα πάντοτε, καί φαιδρῶς ἀπολαύουσα, τούς προσκυνοῦντας τήν τῶν λειψάνων σου, σορόν ἁγίαν χάριν πηγάζουσαν, καί τήν φωσφόρον σου, μνήμην ἑορτάζον-

τας, ρύου ἀεί, πάσης περιστάσεως, τῇ ἀντιλήψει σου.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν οσίων παρθένων ὁ χορός, ἐν τῇ σῇ ἐκδημίᾳ πρός Θεόν, κύκλῳ τῆς κλίνης σου σεμνή ἑστῶσαι, θερμῶς ἐθρήνουν, τήν στέρησίν σου Μῆτερ· καί τό πανσέβαστον καί ἅγιόν σου σκῆνος, σεπτῶς παρέδωκαν ταφῇ ὁσίᾳ· μεθ᾿ ὧν ὑμνοῦντές σε πάντες, μακαρίζομεν λέγοντες. Ὦ θεία περιστερά, ἡ ἐν χαρᾷ ἀναπτᾶσα, πρός καλιάς τάς ἄνω· λυχνία πολύφωτε, τῶν ἀρετῶν τῆς ἀσκήσεως· τῆς παρθενίας ἡ ἔμπνους μυροθήκη· τῆς ἀπαθείας τό πανευῶδες ἄνθος· ἡ ἄμεμπτος νύμφη τοῦ Σωτῆρος· Ὁσίων τό καύχημα· παρθένων ἀγλάϊσμα, Ξένη θεόφρον, πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Τά οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καί ἡμεῖς δοξολογοῦμεν τήν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τάς ψυχάς ἡμῶν.

Δοξολογία μεγάλη καί ἀπόλυσις.

Εἰς τήν Λειτουργίαν.

Τά τυπικά οἱ Μακαρισμοί, καί ἐκ τοῦ κανόνος τῆς Ἁγίας ἡ γ΄. καί στ΄. ᾠδή. Ἀπόστολον ὅρα Μηνολόγιον. Εὐαγγέλιον ζήτει τῇ Κυριακῇ μετά τήν Ὕψωσιν τοῦ Σταυροῦ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Ξένη ὤφθης Μῆτερ ἐπί τῆς γῆς, καί τῇ πολιτείᾳ, κλῆσιν ἔσχες τήν ἀληθῆ· ὅθεν οὐρανίων, χαρίτων μετασχοῦσα, Ξένη Ὁσία Μῆτερ, ἡμᾶς διάσωζε.

Δίστιχον.

Ἁπάσης με ξένωσον ὦ Ξένη ὕλης
Γεράσιμον μέλψαντα σόν ξένον βίον.

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ
ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΞΕΝΗΝ

ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ
ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΞΕΝΗΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, τό Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τό Θεός Κύριος ὡς συνήθως, καί τό ἑξῆς:

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν Σταυρῷ.

Ὡς ξενωθεῖσα τῶν ἐν κόσμῳ πραγμάτων, πολλῶν χαρίτων ἐκ Θεοῦ ἠξιώθης, Ὁσία Ξένη βίου καθαρότητι· ὅθεν ἀεί πρέσβευε, τῷ νυμφίῳ σου Μῆτερ, πάσης περιστάσεως, καί ἀνάγκης λυτροῦσθαι, τούς τῷ σεπτῷ σπεύδοντας ναῷ, καί τήν θερμήν σου, ζητοῦντας ἀντίληψιν.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄. καί ὁ κανών, οὗ ἡ ἀκροστιχίς.

«Δίδου Ξένη ἡμῖν θείαν χάριν. Γερασίμου».

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Δοχεῖον ἀΰλου οὖσα φωτός, λαμπρότητι βίου, ἐξ ἀχλύος ἁμαρτιῶν, ταῖς σαῖς φωτοφόροις ἱκεσίαις, Ὁσία Ξένη ἡμᾶς ἐλευθέρωσον.

Ἰλύος ρυσθεῖσα τῆς τῶν παθῶν, ἐκ ταύτης Ὁσία, ἀποκάθαρον τάς ψυχάς, ἡμῶν τῇ θερμῇ σου ἱκεσίᾳ, καί πᾶσιν αἴτει πταισμάτων συγχώρησιν.

Δυνάμωσον Μῆτερ τό ἀσθενές, ἡμῶν τῆς καρδίας, κατά πάσης ἐπιβουλῆς, ἐχθρῶν ὁρατῶν καί ἀοράτων, Ὁσία Ξένη ταῖς σαῖς ἀντιλήψεσι.

Θεοτοκίον.

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, Κεχαριτωμένη, Παντευλόγητε Μαριάμ, παγίδων τοῦ σκότους λύτρωσαί με, καί τήν ζοφώδη ψυχήν μου καταύγασον.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπερτέρα τοῦ κόσμου, τῇ σῇ ζωῇ πέφηνας· ὅθεν ὑπερτέρους ἁπάσης, ἡμᾶς κακώσεως, Ξένη ἀνάδειξον, καί θλιβερῶν συμπτωμάτων, τούς πιστῶς προστρέχοντας, ταῖς ἱκεσίαις σου.

Ξενοτρόπως ἀγῶνα, τόν ἱερόν ἤνυσας, Ξένη θεοφόρε Ὁσία, ἁγίῳ ἔρωτι· ὅθεν ἐκ πάσης φθορᾶς, καί συμφορᾶς καί ἀνάγκης, ξένωσον δεόμεθα, τούς προσιόντας σοι.

Ἐκ παθῶν ἀκαθάρτων, καί χαλεπῶν θλίψεων, καί ἐπηρειῶν πολυτρόπων, τοῦ πολεμήτορος, ἡμᾶς ἀπάλλαξον, τούς

τῷ ἁγίῳ ναῷ σου, Ξένη παμμακάριστε, πίστει προστρέχοντας.

## Θεοτοκίον.

Νέον τέτοκας βρέφος, ὑπερφυῶς Ἄχραντε, τόν Δημιουργόν τῶν αἰώνων, καί πάντων Κύριον· ὅθεν νεούργησον, παλαιωθέντα τόν νοῦν μου, πλείσταις παραβάσεσιν, ἵνα γεραίρω σε.

Διάσωσον Ὁσία Ξένη πρεσβείαις σου πρός τόν Κτίστην, ἀπό πάσης ἐπιφορᾶς καί κακώσεως, τούς ἐκζητοῦντας τήν θείαν σου προστασίαν.

## Ἐπίβλεψον ἐν εὐμενείᾳ...

## Αἴτησις καί τό Κάθισμα.

## Ἦχος β΄. Πρεσβεία θερμή.

Παθῶν χαλεπῶν, καί συνοχῆς καί θλίψεως, καί νόσων δεινῶν, ἀτρώτους ἡμᾶς φύλαττε, Ὁσία Ξένη πάνσεμνε, τῇ θερμῇ σου πρεσβείᾳ πρός Κύριον, καί τῶν πταισμάτων αἴτει ἱλασμόν, τοῖς πίστει προστρέχουσι τῇ σκέπῃ σου.

## Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ἡ πρεσβεία σου γένοιτο, θείας εὐφροσύνης καί παρακλήσεως, θεοφόρε Ξένη πρόξενος, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

Ἣν θεόθεν ἀπείληφας, τῇ σῇ πολιτείᾳ χάριν σωτήριον, ἡμῖν ἅπλωσον θεόσοφε, ὡς ἄν τῶν δεινῶν περιγινώμεθα.

Μανικῶν ἐπιθέσεων, Ξένη ἡμᾶς λύτρωσαι τοῦ ἀλάστορος, καί ὑγείαν δίδου ἅπασι, τήν κατά ψυχήν καί σῶμα πάνσεμνε.

## Θεοτοκίον.

Ἰατρόν πάντων τέξασα, καί Σωτῆρα Κόρη Χριστόν τόν Κύριον, ἀσθενοῦντα πολλοῖς πάθεσι, ἴασαί με Δέσποινα καί σῶσόν με.

## Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Νέκρωσον σεμνή, τῶν παθῶν ἡμῶν σκιρτήματα, καί πρός τρίβον μετανοίας ἀληθοῦς, καθοδήγησον ἡμᾶς ταῖς ἱκεσίαις σου.

Θαύμασι πολλοῖς, θεοφόρε διαλάμπουσα, τήν συνέχουσαν ὀδύνην χαλεπήν, τήν ζωήν ἡμῶν θεράπευσον δεόμεθα.

Ἔχουσα πολλήν, παρρησίαν πρός τόν Κύριον, Μῆτερ Ξένη καθικέτευε ἀεί, τοῦ διδόναι τῶν πταισμάτων ἡμῖν ἄφεσιν.

## Θεοτοκίον.

Ἴθυνον ἡμᾶς, πρός ζωῆς θείας ἐντάλματα, Θεοτόκε ἀπαλλάττουσα ἡμᾶς, τῶν δεσμῶν τῆς ἁμαρτίας ὡς φιλάγαθος.

## Ὠδή στ΄. Τήν δέησιν.

Ἀγγέλων, τήν πολιτείαν μετῆλθες, μετά σώματος θεόληπτε Ξένη· ὅθεν ἡμᾶς τῆς δαιμόνων μανίας, καί τῶν ἐν βίῳ κινδύνων καί θλίψεων, ρῦσαι τῇ σῇ ἐπισκοπῇ, καί χαρᾶς θεϊκῆς ἡμᾶς πλήρωσον.

Νοσοῦσι, τήν θεραπείαν παρέχεις, καί τοῖς πάσχουσι τήν ἴασιν Μῆτερ, καί θλιβομένοις παράκλησιν θείαν, ὡς δοξασθεῖσα δυνάμει τοῦ Πνεύματος· ὅθεν βοῶμέν σοι θερμῶς· τάς αἰτήσεις ἡμῶν πλήρου πάντοτε.

Χειμάζει με, ἁμαρτίας ἡ ζάλη, καί καθέλκει εἰς βυθόν ἀπωλείας, ἀλλά τῷ σῷ καταφεύγω λιμένι, Ξένη Ὁσία καί πίστει κραυγάζω σοι· ὁδήγησόν με ἀσφαλῶς, σωτηρίας πρός ὅρμον καί σῶσόν με.

## Θεοτοκίον.

Ἀφράστως, τόν Ποιητήν τῶν ἁπάντων, τετοκυῖα εἰς ἀνάπλασιν κόσμου, Εὐλογημένη Παρθένε Μαρία, συντετριμμένον τόν νοῦν μου ἀνάπλασον, ἐξ ἁμαρτίας χαλεπῆς, πρός ζωῆς ἐναρέτου κατόρθωσιν.

Διάσωσον Ὁσία Ξένη πρεσβείαις σου πρός τόν Κτίστην, ἀπό πάσης ἐπιφορᾶς καί κακώσεως, τούς ἐκζητοῦντας τήν θείαν σου προστασίαν.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον..

Αἴτησις καί τό Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς προστασία ἡμῶν καί ἀντίληψις, Ὁσία Ξένη ἀπαύστως περίσωζε, ἐκ πάσης ἀνάγκης καί θλίψεως, ταῖς πρός Χριστόν ἱκεσίαις σου ἔνδοξε, τούς πίστει καί πόθῳ τιμῶντάς σε.

Προκείμενον.

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.

Στίχ. Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου...

Εὐαγγέλιον. Ἐκ τοῦ κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τάς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δέ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καί αἱ πέντε μωραί· αἵτινες μωραί, λαβοῦσαι τάς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. Αἱ δέ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετά τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δέ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καί ἐκάθευδον. Μέσης δέ νυκτός κραυγή γέγονεν. Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθαι εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καί ἐκόσμησαν τά λαμπάδας αὐτῶν. Αἱ δέ μωραί ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δέ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσει ἡμῖν καί ὑμῖν· πορεύεσθε δέ μᾶλλον πρός τούς πωλοῦντας, καί ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δέ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καί αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τούς γάμους, καί ἐκλείσθη ἡ θύρα. Ὕστερον δέ ἔρχονται καί αἱ λοιπαί παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δέ ἀποκριθείς, εἶπεν· Ἀμήν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τήν ἡμέραν οὐδέ τήν ὥραν, ἐν ᾗ ὁ Υἱός τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...

Ξένη παμμακάριστε, νύμφη Χριστοῦ θεοφόρε, τοῦ Ἁγίου Πνεύματος, σκεῦος πολυτίμητον τῇ ἀσκήσει σου, ἐκτενῶς πρέσβευε, ἀπό πάσης βλάβης, καί παθῶν καί περιστάσεων, καί νόσων ρύεσθαι, τούς εἰλικρινῶς σε γεραίνοντας, καί βίον δίδου ἄλυπον, καί εἰρήνην Μῆτερ οὐράνιον, τοῖς ἐν εὐλαβείᾳ, προστρέχουσι τῷ θείῳ σου ναῷ, καί τῆς θερμῆς προστασίας σου, τήν χάριν κηρύττουσι.

Ὁ Ἱερεύς. Σῶσον ~~Κύριε~~... ὁ Θεός

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ρείθροις θείων χαρίτων, ὧν ἐκτήσω ἀξίως παρά Κυρίου σου, κατάσβεσον τήν φλόγα, παθῶν τῶν συνθλιβόντων, τάς ψυχάς καί τά σώματα, Ξένη Ὁσία σεμνή,

τῶν σέ παρακαλούντων.

Ιαμάτων τήν χάριν, ἐπομβρίᾳ τῇ θείᾳ βλύζει ἑκάστοτε, Εἰκών σου ἡ ἁγία, καί ἡ σεπτή σορός σου, τοῖς πιστῶς καταφεύγουσι, τῷ ἱερῷ σου ναῷ, Ξένη Ὁσία Μῆτερ.

Νοσημάτων παντοίων, καί δεινῶν συμπτωμάτων ἡμᾶς ἀπάλλαξον, καί ρῶσιν καί ὑγείαν, καί θείαν εὐφροσύνην, καί πταισμάτων τήν ἄφεσιν, αἴτει ἡμῖν ἐκ Θεοῦ, Ξένη Ὁσία Μῆτερ.

Θεοτοκίον.

Γνώμην ἔμφρονα δίδου, καί ψυχῆς καρτερίαν βίου ταῖς θλίψεσι, καί πᾶσαν τοῦ Βελίαρ, τήν καθ' ἡμῶν μανίαν, Θεοτόκε ἀπότρεπε, ὡς προστασία ἡμῶν, καί τεῖχος ἀσφαλείας.

Ὠδή η'. Τόν Βασιλέα.

Επικειμένης, ἡμᾶς ἐκλύτρωσαι βλάβης, καί πᾶν σκάνδαλον ἀπότρεπε Ὁσία, ἐκ τῶν προσιόντων, τῇ θείᾳ σου πρεσβείᾳ.

Ρῦσαι Ὁσία, τῇ σωστικῇ σου πρεσβείᾳ, τῆς τοῦ ὄφεως κακίστης ἐπηρείας, τούς ἐκδεχομένους, τήν σήν ἐπιστασίαν.

Ανωθεν ἴδε, τούς εὐλαβῶς παρεστῶτας, τῇ εἰκόνι σου Ὁσία τῇ ἁγίᾳ, καί τάς ἱκεσίους, φωνάς αὐτῶν προσδέχου.

Θεοτοκίον.

Σῶσον με Κόρη, τῆς τοῦ ἐχθροῦ ἐξαπάτης, καί παράσχου μοι μετάνοιαν γνησίαν, ἵνα ἐπιτύχω, τῆς ἄνω βασιλείας.

Ὠδή θ'. Κυρίως Θεοτόκον.

Ικέτευε ἀπαύστως, Ξένη μακαρία, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν, καί τῶν ἐν βίῳ κινδύνων τήν ἀπολύτρωσιν.

Μαστίγων ὀλεθρίων, καί πάσης ἀνάγκης, καί παντός φθόνου ἀνώτερον τήρησον, ἡμῶν τόν βίον Ὁσία τῇ ἀντιλήψει σου.

Ολόφωτον παστάδα, ἤδη κατοικοῦσα, τῆς ζοφερᾶς ἁμαρτίας ἀπάλλαξον, Ὁσία Ξένη τούς πόθῳ σε μεγαλύνοντας.

Θεοτοκίον.

Υπέρφωτε λυχνία, τῆς ἀΰλου δόξης, Θεοχαρίτωτε Δέσποινα λάμπρυνον, τήν σκοτισθεῖσαν ψυχήν μου τοῖς πλημμελήμασι.

Τό Ἄξιόν ἐστι καί τά μεγαλυνάρια.

αίρουσα ἀγάπῃ τῇ θεϊκῇ, Ξένη μακαρία, ἠκολούθησας τῷ Χριστῷ, καί τῶν ἐν τῷ κόσμῳ, ἁπάντων ξενωθεῖσα, Κυρίῳ ᾠκειώθης, τῷ σέ δοξάσαντι.

Ελιπες μνηστῆρα τόν γεηρόν, καί ἀσχέτῳ πόθῳ, νύμφη ὤφθης θεοειδής, Ξένη μακαρία, Χριστοῦ τοῦ Ζωοδότου, ἀνύσασα ἐν κόσμῳ, ζωήν ἰσάγγελον.

Λάθρα ἀπεμάκρυνας σεαυτήν, γονέων καί πλούτου, δι' ἀγάπην τήν τοῦ Χριστοῦ, καί ἐν ξένῃ χώρᾳ, ὡς ξένη γεγονυῖα, ξενοπρεπῶν χαρίτων, Ξένη ἠξίωσαι.

Δι' ἀστέρων ἄνωθεν ὁ Χριστός, ὑπέφηνε πᾶσι, τήν ἁγίαν σου βιοτήν, Ξένη θεοφόρε, ᾧ πρέσβευε ἀπαύστως, ὑπέρ τῶν προσιόντων, τῇ προστασίᾳ σου.

Νόσων ἐκλυτροῦνται καί πειρασμῶν, οἱ πίστει τελείᾳ, προσιόντες τῷ σῷ ναῷ, ἐξ ὧν ἡμᾶς ρύου, ὦ Ξένη πανολβία, καί πλήρου τάς αἰτήσεις, τῶν εὐφημούντων σε.

Πάσης ἀθυμίας καί συνοχῆς, ἀπάλλαξον Μῆτερ, καί ἐκ νόσων πολυειδῶν,

τούς ὑμνολογοῦντας, τούς θείους σου ἀγῶνας, ὦ Ξένη θεοφόρε, πιστῶν ἀντίληψις.

Πᾶσαι τῶν Ἀγγέλων...

Τό τρισάγιον, τά συνήθη τροπάρια, ἐκτενής καί ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἑξῆς:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ξένη τῶν Ὁσίων καλλονή, νύμφη τοῦ Χριστοῦ θεοφόρε, αὐτόν ἱκέτευε, πάσης περιστάσεως, καί πάσης θλίψεως, ἀσινεῖς διασώζεσθαι, τούς ἐν εὐλαβείᾳ, σπεύδοντας ἑκάστοτε, τῇ προστασίᾳ σου, λύουσα παθῶν τάς ὀδύνας, καί χαράν παρέχουσα πᾶσι, ταῖς πρός τόν Σωτῆρα ἱκεσίαις σου.

Δέσποινα πρόσδεξαι...

Τήν πᾶσαν ἐλπίδα μου...

Δίστιχον.

Ξένη Μῆτερ πρόσδεξαι τάς ἱκεσίας
Ἅς σοι ὁ Γεράσιμος ἤδη προσάγει.



ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ
ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΞΕΝΗΝ

ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ
ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ



# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ
# ΞΕΝΗΝ

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς ξενωθεῖσα τῶν ἐν κόσμῳ τῇ ἀσκήσει σου
Ξενοπρεπῶς ἐμεγαλύνθης θείαις χάρισι
Καί παρέχεις τοῖς αἰτοῦσι τήν ἀρωγήν σου.
Ἀλλ᾽ ἀπαύστως καθικέτευε δεόμεθα
Πάσης ρύεσθαι ὀργῆς καί περιστάσεως
Τούς βοῶντάς σοι, χαίροις Ξένη θεόληπτε.

Ἄνωθεν τήν ζωήν σου, Ξένη Μῆτερ Ὁσία, ἐκφαίνει ὁ Χριστός δι᾽ ἀστέρων· ἐντεῦθεν εὐσεβῶν οἱ χοροί, τήν θαυμαστήν πολιτείαν σου μέλπουσι, γεραίροντες τούς πόνους σου, καί γηθοσύνως ἐκβοῶντες.
χαῖρε δι᾽ ἧς ὁ Χριστός ὑμνήθη
χαῖρε δι᾽ ἧς ὁ ἐχθρός ᾐσχύνθη
χαῖρε παρθενίας τό μύρον τό εὔοσμον
χαῖρε ἀπαθείας τό σκεῦος τό ἔμψυχον
χαῖρε ἄστρον παμφαέστατον τῆς ἀγάπης τοῦ Χριστοῦ
χαῖρε ἄνθος εὐωδέστατον βίου τοῦ ἀσκητικοῦ
χαῖρε ὅτι ὑπάρχεις τῶν παρθένων λαμπρότης
χαῖρε ὅτι τυγχάνεις τῶν Ὁσίων φαιδρότης
χαῖρε Χριστοῦ ἡ νύμφη ἡ ἄμωμος
χαῖρε ζωῆς ἁγίας κυπάρισσος
χαῖρε δι᾽ ἧς θεία χάρις αὐγάζει
χαῖρε δι᾽ ἧς ὁ ἀλάστωρ στενάζει

χαίροις Ξένη θεόληπτε.

Βίου τοῦ φθειρομένου, καί γονέων τό φίλτρον, παρεῖδες ἀγαπήσει τῇ θείᾳ· ἔνθεν μνηστῆρα τόν γηρόν, λιποῦσα τῷ ἀθανάτῳ μεμνήστευσαι, ᾧ πόθῳ ἠκολούθησας, Ξένη θεόφρον ἐκβοῶσα.

Ἀλληλούϊα.

Γονικῆς συναφείας, καί τοῦ ρέοντος πλούτου, ἐμάκρυνας ἐμφρόνως Ὁσία· ὅλη γάρ καρδίᾳ καί ψυχῇ, ἀνεπτερώθης Χριστοῦ τῷ ἔρωτι· διό σε ὡς θεόφρονα, τιμῶντές σοι ἀναβοῶμεν·
χαῖρε ὁ ἄνθραξ θείας ἀγάπης
χαῖρε ἡ πόρρω ὕλης ἁπάσης
χαῖρε τοῦ Σωτῆρος τρωθεῖσα τῷ ἔρωτι
χαῖρε ἡ ἐν πόνοις ρωσθεῖσα τῷ Πνεύματι
χαῖρε θείας ἐπιλάμψεως λαμπηδών θεοφεγγής
χαῖρε σκεῦος πολυτίμητον ἐπιπνοίας θεϊκῆς
χαῖρε ὅτι μνηστῆρα γηρόν ἀπηρνήσω
χαῖρε ὅτι τό γέρας οὐρανόθεν ἐκτήσω
χαῖρε φθαρτῶν λιποῦσα τήν εὔκλειαν
χαῖρε πιστῶν κοσμοῦσα τήν ἔννοιαν
χαῖρε ἠθῶν γεωργός οὐρανίων
χαῖρε πασῶν ὑπερόπτις φροντίδων

χαίροις Ξένη θεόληπτε.

Δύναμιν θείαν σχοῦσα, ἐν καρδίᾳ Ὁσία, λάθρα τῆς σῆς πατρίδος ἐγένου, καί εὐπλοήσασα ἐν Χριστῷ, τήν Ἀλεξάνδρειαν Μῆτερ κατέλαβες, σύν ταῖς θεραπαινίσι σου, ἐκβοῶσα τῷ σῷ νυμφίῳ.

Ἀλληλούϊα.

Ἔνθους ἀναζητοῦσα, τοῦ νυμφίου τό κάλλος, εἰς Κῶν τήν νῆσον Μῆτερ

ἐγένου· ὡς πῦρ γάρ θεῖον καί ἱερόν, ὁ τοῦ Σωτῆρος πόθος σε ἀνέφλεγε· διό σου τήν λαμπρότητα, θαυμάζοντες ἀναβοῶμεν·
χαῖρε πυρός ἀΰλου δοχεῖον
χαῖρε φωτός τοῦ θείου ταμεῖον
χαῖρε τῶν Ἀγγέλων τόν βίον ζηλώσασα
χαῖρε τῶν δαιμόνων τό θράσος νεκρώσασα
χαῖρε ἄμπελος κατάκαρπος οὐρανίων ἐννοιῶν
χαῖρε μάχαιρα ἀμφίστομος κατά πάντων τῶν παθῶν
χαῖρε ὅτι ὑψώθης τῆς ἐν κόσμῳ εὐκλείας
χαῖρε ὅτι ἐπλήσθης μυστικῆς φωταυγείας
χαῖρε Χριστοῦ ἀγάπης θησαύρισμα
χαῖρε ἐχθροῦ ἀπάτης κατάπτωμα
χαῖρε κρατήρ γλυκασμοῦ οὐρανίου
χαῖρε αὐγή φωτισμοῦ σωτηρίου

χαίροις Ξένη θεόληπτε.

Ζέουσα τῇ ἀγάπῃ, τοῦ Σωτῆρος Ὁσία, ὑπῆλθες τόν ἀγῶνα τόν μέγαν, καί καθεῖλες τήν τοῦ δυσμενοῦς, ἐν γυναικείῳ σώματι ἀπόνοιαν· ἡ χάρις γάρ ἡ θεία σε, ἐνίσχυε πιστῶς βοῶσαν·

Ἀλληλούϊα.

Ἠκολούθησας πόθῳ, Παύλῳ τῷ θεοφόρῳ, πρός δρόμον ἀγομένη τόν θεῖον, καί ἐν τῇ Μυλάσσῃ σύν αὐτῷ, ὡς ξένη ἐπί ξένης παραγέγονας, καί ἅπαντας διήγειρας, ἀναβοᾶν σοι Μῆτερ ταῦτα·
χαῖρε ἡ πάροικος τῶν γηΐνων
χαῖρε ἡ μέτοχος τῶν ἀΰλων
χαῖρε ἡ τήν κλῆσιν ἐμφρόνως ἀμείψασα
χαῖρε ἡ τήν χάριν τήν θείαν πλουτήσασα
χαῖρε θείων ἀναβάσεων ὑποτύπωσις λαμπρά
χαῖρε ἔργων τῆς ἀσκήσεως θεοκίνητος νευρά
χαῖρε ὅτι ὡς ξένη ἐν Μυλάσσῃ ἐγένου
χαῖρε ὅτι τοῖς πᾶσιν ὡς θεόπνους ἐφαίνου
χαῖρε τοῦ θείου Παύλου γεώργιον
χαῖρε Κυρίου ἔμπνουν ὀσφράδιον
χαῖρε καρπῶν ψυχοτρόφων ἡ πλήρης
χαῖρε ζωῆς ἰσαγγέλου ἡ μύστις

χαίροις Ξένη θεόληπτε.

Θείοις λόγοις Ὁσία, Παύλου τοῦ θεοφόρου, πρός κτῆσιν ἀρετῆς τῆς τελείας, ἰθυνομένη θεοπρεπῶς, ἠγωνίζου ἐν ἀσκήσει ὡς ἄσαρκος, καί βαίνουσα τοῖς ἔμπροσθεν, ἐβόας τῷ σέ δυναμοῦντι·

Ἀλληλούϊα.

Ἵνα τῆς ἄνω δόξης, κληρονόμος ὀφθήσῃ, τῶν κάτω ὁλικῶς ἐχωρίσθης· ἔνθεν ὅμιλον παρθενικόν, ἀκολουθοῦντα ἔσχηκας θεόσοφε· τῷ γάρ σῷ ὑποδείγματι, καθοδηγούμεναι ἐβόων·
χαῖρε Ὁσία ἡ θεοφόρος
χαῖρε λυχνία ἡ φωτοφόρος
χαῖρε θεοφρόνων παρθένων διδάσκαλος
χαῖρε ἡ ἐν ἔργοις ὁσίοις ἰσάγγελος
χαῖρε στήλη θεοτύπωτος ἐναρέτου ἀγωγῆς
χαῖρε στόμα θεοφόρητον θεοσόφου διδαχῆς
χαῖρε ὅτι ἡγήσω θεολήπτων παρθένων
χαῖρε ὅτι τόν βίον ἐμιμήσω Ἀγγέλων
χαῖρε ψυχῶν τόν ῥύπον καθαίρουσα
χαῖρε Χριστοῦ πρός πόθον ἐκκαίουσα
χαῖρε φυτόν πολιτείας ὁσίας
χαῖρε εἰκών ψυχικῆς προθυμίας

χαίροις Ξένη θεόληπτε.

Καθαρθεῖσα τῆς ὕλης, τῆς Ἁγίας Τριάδος, ναός ἡγιασμένος ἐδείχθης· διό τῷ Πρωτοάθλῳ Χριστοῦ, ναόν θεῖον ἐδομήσω θεόπνευστε, ἐν ᾧ σύν ταῖς μοναζούσαις, ταῖς μετά σοῦ Κυρίῳ ᾖδες.

Ἀλληλούϊα.

Λαμπρυνθεῖσα τοῖς πόνοις, τῆς ἀσκήσεως Μῆτερ, ἐπλήσθης οὐρανίων χαρίτων, καί ὤφθης τύπος καί ὁδηγός, εὐλαβῶν μοναστριῶν θείῳ Πνεύματι· Χριστῷ γάρ κατηυθύνοντο, οἱ ἐκβοῶσαί σοι τοιαῦτα·
χαῖρε ὁ τύπος τῆς ἐγκρατείας
χαῖρε ἡ λύσις τῆς ῥαθυμίας
χαῖρε ἀσκουσῶν ὁδηγός θεοδίδακτος
χαῖρε ἀρετῶν ὑποφῆτις θεόσοφος

χαῖρε σκήνωμα πολύτιμον ἐνεργείας θεϊκῆς
χαῖρε ὄργανον εὐάρμοστον πάσης θείας ἀρετῆς
χαῖρε ὅτι ἰθύνεις πρός οὐράνιον λῆξιν
χαῖρε ὅτι ξηραίνεις τήν ψυχόλεθρον χύσιν
χαῖρε Χριστοῦ σεμνή καλλιπάρθενος
χαῖρε πολλῶν χαρίτων ἀνάπλεως
χαῖρε φωτός κοινωνοῦσα τοῦ θείου
χαῖρε τρυφῆς ἀποσπῶσα ἐνύλου

χαίροις Ξένη θεόληπτε.

Μύλασσα ἐγκαυχᾶται, τοῖς ὁσίοις σου πόνοις, καί πᾶσα ἡ Χριστοῦ 'Εκκλησία, τάς σάς μακαρίζει ἀρετάς, δι' ὧν ὡς φῶς τῷ κόσμῳ Ξένη ἔλαμψας, πάντας καταπυρσεύουσα, τούς εὐλαβῶς Θεῷ βοῶντας·

'Αλληλούϊα.

Νύμφη Χριστοῦ ἁγία, ἀνεδείχθης 'Οσία, ἀσκήσει καί σεμνῇ παρθενίᾳ, καί ἐπουρανίων θαλάμων, μετά τέλος ἠξιώθης τό ἅγιον, ἁγιασμόν καί λύτρωσιν, βραβεύουσα τοῖς ἐκβοῶσι·
χαῖρε Χριστοῦ ἡ ὁσία νύμφη
χαῖρε λαμπρά κατά παθῶν νίκη
χαῖρε τῶν 'Οσίων σεπτόν ἐγκαλλώπισμα
χαῖρε τῶν παρθένων τό θεῖον διάδημα
χαῖρε ὅτι ὑπερβέβηκας τούς θεσμούς τούς φυσικούς
χαῖρε ὅτι καταβέβληκας τούς ἐχθρούς τούς νοητούς
χαῖρε τῆς ἀπαθείας εὐωδέστατον κρίνον
χαῖρε τῆς ἀληθείας εὐθαλέστατον ἴον
χαῖρε Χριστοῦ ὁρῶσα τήν ἔλλαμψιν
χαῖρε ἐχθροῦ πατοῦσα τήν ἔπαρσιν
χαῖρε λαμπρόν τῆς Μυλάσσης κλέος
χαῖρε πιστῶν ἀρραγέστατον ἕρκος

χαίροις Ξένη θεόληπτε.

Ξενωθεῖσα τοῦ κόσμου, ἀληθῶς ξένη ὤφθης, καί κλήσει τε καί πράγμασι Μῆτερ, καί τῇ ξενοτρόπῳ σου ζωῇ, ἅπαντας τούς πιστούς Ξένη ἐξένισας, μετά τό θεῖον τέλος σου, καί πάντες τῷ Θεῷ ἐβόων·

'Αλληλούϊα.

Ὄμβροις τοῖς τῶν δακρύων, ἀρδευθεῖσα 'Οσία, ἐξήνεγκας καρπούς ἀφθαρσίας, δι' ὧν τάς διανοίας ἀεί, ἐκτρέφεις καί εὐφραίνεις θείῳ Πνεύματι, τῶν εὐλαβῶς τιμώντων σε, καί ἐκβοώντων σοι τοιαῦτα·
χαῖρε ἐλαία ἡ καρποφόρος
χαῖρε παρθένος λαμπαδηφόρος
χαῖρε τῶν χαρίτων εὐῶδες ἀλάβαστρον
χαῖρε τοῦ Σωτῆρος τό θεῖον κιννάμωμον
χαῖρε ἄγγελε ἐν σώματι, ἀσκουμένων καλλονή
χαῖρε χάριτος θησαύρισμα, θλιβομένων χαρμονή
χαῖρε ὅτι ἀνδρείως ἐν σαρκί ἠγωνίσω
χαῖρε ὅτι τό λεῖον τῆς σαρκός ἐβδελύξω
χαῖρε χαρᾶς μελλούσης συμμέτοχος
χαῖρε χορῶν ἀΰλων συνόμιλος
χαῖρε φθαρτῶν ὑπερβᾶσα τούς ὅρους
χαῖρε Χριστοῦ ἐκπληροῦσα τούς λόγους

χαίροις Ξένη θεόληπτε.

Πόνοις τῆς ἐγκρατείας, τῆς σαρκός σου 'Οσία, νεκρώσασα σοφῶς τάς κινήσεις, καί ἀσθένειαν τήν φυσικήν, παριδοῦσα ὑπέρ φύσιν ἠγώνισαι, ὑπερφυῶν ἐπάθλων δέ, ἔτυχες τῷ Θεῷ βοῶσα·

'Αλληλούϊα.

Ρήμασι θεοσόφοις, νουθετήσασα Μῆτερ, χορόν μοναστριῶν τῶν ὁσίων, μετέστης πρός τήν ἄνω ζωήν, καί τῷ νυμφίῳ σου Χριστῷ παρέστηκας, ὑπέρ ἡμῶν πρεσβεύουσα, τῶν ἐκβοώντων σοι τοιαῦτα·
χαῖρε Χριστοῦ τό κάλλος ὁρῶσα
χαῖρε ζωῆς τοῦ ξύλου τρυφῶσα
χαῖρε τόν ἀγῶνα ὁσίως τελέσασα
χαῖρε τῆς ἀφθάρτου εὐκλείας μεθέξασα
χαῖρε ἄρωμα οὐράνιον ἐξ ἱδρώτων ἱερῶν
χαῖρε ἴνδαλμα θεότευκτον πόνων τῶν πνευματικῶν
χαῖρε ὅτι θαλάμων οὐρανίων μετέσχες
χαῖρε ὅτι τήν ρύμην τοῦ δολίου ἐπέσχες
χαῖρε πιστῶν τό θεῖον ἐντρύφημα

χαῖρε ψυχῶν ἀμέμπτων καλλώπισμα
χαῖρε ἐχθροῦ τήν ὁρμήν καθελοῦσα
χαῖρε ἡμῶν τάς ψυχάς φωταυγοῦσα

χαίροις Ξένη θεόληπτε.

Σύμπαντες τό σόν σκῆνος, θρηνῳδοῦντες εὐσχήμως, παρέδωκαν ταφῇ τῇ ὁσίᾳ· ἄνω δέ Ἀγγέλων οἱ χοροί, τήν σήν ψυχήν ἐν χαρᾷ ὑπεδέξαντο, καί ἀκηράτοις στέμμασιν, ὁ Χριστός ἔστεψε βοῶσαν·

Ἀλληλούϊα.

Τήν ἁγίαν ζωήν σου, διά κύκλου ἀστέρων, ὑψόθεν ὁ Σωτήρ μεγαλύνει, καί πάντες ὡς ἔμαθον τά σά, ἐν ἐκπλήξει τόν Σωτῆρα ἐδόξαζον, ὁμοφώνως ὑμνοῦντές σε, καί βοῶντές σοι Μῆτερ ταῦτα·
χαῖρε Ὁσία Ὁσίων κλέος
χαῖρε παρθένε παρθένων εὖχος
χαῖρε κληρονόμε τῆς ἄνω λαμπρότητος
χαῖρε Ἀσωμάτων ἀγγέλων ὁμόσκηνος
χαῖρε ὅτι δι' ἀστέρων σε ἀπεκάλυψε ὁ Χριστός
χαῖρε ὅτι ἐν σοί ἥττηται ὁ ἀντίπαλος ἐχθρός
χαῖρε τῶν εὐσεβούντων ἀληθής θυμηδία
χαῖρε τῶν ἀθυμούντων θεία παρηγορία
χαῖρε ζωῆς αἰωνίου μέτοχος
χαῖρε φωτός Τρισηλίου ἔμπλεως
χαῖρε δι' ἧς ὁ Βελίαρ τροποῦται
χαῖρε δι' ἧς πᾶς πιστός κραταιοῦται

χαίροις Ξένη θεόληπτε.

Ὕμνησαν ὡς κατεῖδον, εὐσεβῶν αἱ χορεῖαι, Σταυρόν ἐν οὐρανῷ δι' ἀστέρων, τόν σόν νυμφίον Μῆτερ Χριστόν, τόν τήν σήν ζωήν ἡμῖν φανερώσαντα, καί ἅπασι τήν χάριν σου, ἐκήρυττον Ξένη βοῶντες·

Ἀλληλούϊα.

Φανεράν τήν σήν κλῆσιν, γένος τε καί πατρίδα, ἡ σή θεραπαινίς ἡ ὁσία, νεύσει καταστήσασα Θεοῦ, πάντες ὑπερηγάσθησαν τόν τρόπον σου, Ὁσία θεοτίμητε, καί εὐφροσύνως σοι ἐβόων·
χαῖρε κρυπτῶς τόν βίον τελοῦσα
χαῖρε ἐχθροῦ τάς πάγας ἑλοῦσα
χαῖρε ἡ τῇ κλήσει τόν τρόπον σημαίνουσα
χαῖρε ἡ τοῖς πᾶσι θείαν χάριν παρέχουσα
χαῖρε ὅτι ξένην ἤνυσας ἐπί ξένης βιοτήν
χαῖρε ὅτι πᾶσιν ἔδειξας τήν ἰσάγγελον ζωήν
χαῖρε εὔοσμον ῥόδον εὐκλεοῦς ῥιζουχίας
χαῖρε ἅγιον δῶρον μυστικῆς εὐκληρίας
χαῖρε κανών ὁσίας ἀσκήσεως
χαῖρε ἀκτίς ἐνθέου φρονήσεως
χαῖρε λιμήν τῶν ἐν ζάλῃ τοῦ βίου
χαῖρε λαμπάς φωτισμοῦ οὐρανίου

χαίροις Ξένη θεόληπτε.

Χάριν θείαν βλυστάνον, τό σόν ἅγιον σκῆνος, ἰᾶται ἀσθενείας ποικίλας, καί καθαγιάζει τάς ψυχάς, τῶν εὐλαβῶς προσιόντων ἑκάστοτε· Χριστός γάρ σε ἐδόξασεν, ᾧ πάντες Μῆτερ ἐκβοῶμεν·

Ἀλληλούϊα.

Ψάλλουσα ἐν ὑψίστοις, σύν Ἀγγέλων τοῖς δήμοις, τόν ὕμνον τόν τρισύνθετον Μῆτερ, δυσώπει ἀεί ὑπέρ ἡμῶν, διδόναι ἡμῖν πταισμάτων συγχώρησιν, τοῖς πόθῳ εὐφημοῦσί σε, καί ἐκβοῶσί σοι ἀπαύστως·
χαῖρε Ἀγγέλων ἡ συμπολῖτις
χαῖρε ἡμῶν ἡ θερμή προστάτις
χαῖρε ἀφθαρσίας λαβοῦσα τόν στέφανον
χαῖρε ἡ τόν ὕμνον φωνοῦσα τόν ἔνθεον
χαῖρε γέρας καί ὑπόδειγμα εὐλαβῶν μοναζουσῶν
χαῖρε καύχημα καί στήριγμα εὐσεβῶν Χριστιανῶν
χαῖρε ὅτι πρεσβεύεις τῷ Χριστῷ ὑπέρ πάντων
χαῖρε ὅτι παρέχεις δωρεάς ἰαμάτων
χαῖρε δι' ἧς παθῶν ξενωθήσομαι
χαῖρε δι' ἧς Χριστῷ προσαχθήσομαι
χαῖρε πιστῶν τάς αἰτήσεις πληροῦσα
χαῖρε ἐχθρῶν τάς ὁρμάς καταργοῦσα

χαίροις Ξένη θεόληπτε.

Ω θεόσοφε Ξένη, οὐρανίου ξενίας, ἡ φερωνύμως συγκοινωνοῦσα, ὡς ξένια δῶρα παρ᾽ ἡμῶν, τούς παρόντας ὕμνους εὐμενῶς πρόσδεξαι, καί ρύου πάσης θλίψεως, τούς τῷ Κυρίῳ ἐκβοῶντας·

Ἀλληλούϊα.

Καί αὖθις τό Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς ξενωθεῖσα τῶν ἐν κόσμῳ τῇ ἀσκήσει σου
Ξενοπρεπῶς ἐμεγαλύνθης θείαις χάρισι
Καί παρέχεις τοῖς αἰτοῦσι τήν ἀρωγήν σου.
Ἀλλ᾽ ἀπαύστως καθικέτευε δεόμεθα
Πάσης ρύεσθαι ὀργῆς καί περιστάσεως
Τούς βοῶντάς σοι, χαίροις Ξένη θεόληπτε.

Δίστιχον

Χαῖρέ σοι κραυγάζοντα Ξένη Ὁσία
Γεράσιμον πλήρωσον χαρᾶς ἁγίας.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

# ΒΙΟΙ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΞΕΝΗΣ

*Ἐκ χειρογράφου Κώδικος τῆς Ἱ. Μ. τοῦ Διονυσίου.*
*Μηνί Ἰανουαρίῳ ΚΔ΄. 360βον.*

## Βίος καί πολιτεία τῆς Ὁσίας Ξένης

Ὁ καινός καί ξένος τῆς θαυμασίας ἀληθῶς Ξένης βίος, βραχεῖαν μέν, ὡς οἷόν τε καί συντετμημένην, ξένην δέ ὅμως καί εὐπρεπῆ πλουτεῖ τήν διήγησιν. Καίτοι δέ οὕτως ἐπίτομος ὤν, ἀλλ' οὖν πρός ἀγῶνας καί πόνους καί ὠφελείας λόγον, σχεδόν τούς πάντας ἤ τούς πλείονας ὑπερβέβηκεν. Αὕτη γάρ ἡ μακαριωτάτη γυναικῶν καί τήν γνώμην ἀνδρικωτάτη, τό μέν γένος περίβλεπτος ἦν, ὅσα γε εἰς πατρίδα τε καί πατέρας ἀναφέρειν εἶχε. Καί γάρ οἱ μέν, ἐπιφανεῖς ἄγαν, οὐ πλούτῳ καί δόξῃ μόνον, ἀλλά καί θρησκείαν γεγόνασιν. Ἡ δέ ἡ περιδοξοτάτη τῶν πόλεων ἦν, ἡ πρεσβυτέρα φημί Ῥώμη καί μεγαλώνυμος, τόν δέ βίον πολλῷ μάλ(β)λον ἤ τό γένος ἐπιφανής. Ἐκ γάρ πατέρων τοιούτων πρώτη τε αὕτη γενομένη, ἀξίαν τοῦ γένους ἔσχε καί τήν ἀναγωγήν, φιλαρέτως τραφεῖσα καί Χριστιανικῶς παιδαγωγηθεῖσα καί Θεῷ ἀρέσκουσαν πολιτείαν βιώσασα. Ἤδη δέ καί ὥραν ἄγουσα γάμου, ζητεῖται παρά τοῦ τῶν πολιτῶν περιδόξου καί αὐτοῦ ὄντος καί κατά γένος ὁμοῦ καί πλοῦτον τῇ νύμφῃ ὁμοῦ συμβαίνοντος. Οἱ μέν οὖν τῆς κόρης πατέρες οὐδέν ὅλως ἔχοντες μέμψασθαι τῇ μνηστείᾳ, ἀλλ' ἀξίαν οὖσαν εἰδότες τήν συζυγίαν, συνέθεντό τε πρός τό κῆδος καί πρός γάμους ἀπέβλεψαν· ὥριστό τι ἡ κυρία, καί πάντα ἤδη ἐτύγχανον εὐτρεπῆ. Ἡ Ξένη δέ μεγαλόφρων οὖσα καί κρειττόνων ἑαυτήν ἀξιοῦσα, πρός ἀθάνατόν τε ἄλλον ἀφο-(361)ρῶσα νυμφίον, τούς μέν περί τοῦ φθαρτοῦ τούτου γάμου λόγους ἀκούσασα, λήρους ἡγεῖτο, καί οὐδέ πειθομένην αὐτοῖς ὅλως τήν καρδίαν ἐδίδου, οὐδέ τι γυναικεῖον ἦν πάσχουσα· ἐκείνου δέ τοῦ Νυμφίου μόνον τήν ψυχήν ἤρτητο καί τῷ Αὐτοῦ ἔρωτι τάς φρένας καί τήν καρδίαν ἰσχυρῶς πέπληκτο, καί πρός αὐτόν ὅλην τήν διάνοιαν ἀπησχόλητο, διό καί κλέψαι ἑαυτήν ἔγνω, καί γονεῖς καί οἶκον ἀπολιποῦσαν φυγῇ χρήσασθαι. Τοῦτο δέ τρέφουσα κατά νοῦν πρός μέν τούς ἄλλους ἀπόρρητον ἐποιεῖτο· ἅς δέ τῶν θεραπαινίδων ᾔδει πολλήν πρός αὐτήν ἐχούσας τήν εὔνοιαν, καί ἄλλως πεῖραν ἐν πολλοῖς δεδωκυίας, ὡς οὐ κατά θεραπαίνας, οὐ κατά γυναῖκας ἁπλῶς εὐάλωτον αὐταῖς εἴη τό φρόνημα. Ταύτας δή προσκαλεσαμένη ὅρκους τε προκατειληφυῖα, πάντα γνησίως τά τοῦ πράγματος ἐξαγγέλλει, οἷά τε βεβούλευται κατά νοῦν, καί ὅπως διαδρᾶναι τόν γάμον ἐκ παντός προτεθύμηται. Εἶτα προστίθησιν, ὅτι κἄν αὐταῖς βουλομέναις ᾖ, κοινωνούς αὐτάς τοῦ ἀγαθοῦ τούτου σκοποῦ παραλήψεται. Ταῦτα οὖν ἔλεγε καί ἅμα τά προϊστάμενα διεκάθαρε νου-

νεχῶς, μηδέν περί ἑαυτῆς λέγουσα ὡς περί νέας καί θαλάμῳ τεθραμμένης διανοεῖσθαι. Μή δεδοικέναι φησί μήποτε καί μεταμελήσει μοι τοῦ σκοποῦ· καί δεινόν ἐντεῦθεν οὐκ ἐμοί μόνον ἀλλά καί ὑμῖν ἐγείρω τόν κίνδυνον. Θαρρεῖν δέ ἀσφαλῶς καί πεποιθέναι ὅτι κἄν ξίφος, κἄν πῦρ, κἄν θηρία, κἄν εἴ τι ἄλλο τῶν χαλεπῶν οὐκ ἄν ἡμᾶς τῆς προθέσεως ἐκστήσωσι ταύτης. Οὕτως εἰπούσης πείθονται καί αὐταί μάλα προθύμως, καί τῷ ἴσῳ σκοπῷ συντίθενται· καί γάρ ἐθάρσησαν καί τοῦτο προσθεῖναι λίαν εὐγενῶς καί μεγαλοψύχως· ὅτι κἄν τι τοιοῦτον συμβαίη τῶν ἀβουλήτων, προκρῖναι μᾶλλον ἀποθανεῖν σύν αὐτῇ, ἤ χωρίς οὖσαι ἀπολαύειν εὐημερίας. Οὕτως ἀλλήλας συνθέμεναι καί τάς ψυχάς καλῶς συναφθεῖσαι, τρεῖς δέ αὗται πρός τῇ Δεσποίνῃ ἐτύγχανον, τό λοιπόν ὡσάν ὁμότιμοι καί ὁμόδουλοι, ἤδη δέ καί ὁμότροποι ἦσαν, ἴσῃ τῇ γνώμῃ χρώμεναι ἴσῃ καί τῇ σπουδῇ ὑφ' ἑνί Δεσπότῃ κοινῇ ταττόμεναι, καί τούτου κοινῶς ἐρῶσαι, καί καιρόν ζητοῦσαι τόν ἐπιτήδειον ὡς ἄν αὐταῖς ἀφώρατον θείη καί ὁμαλήν τήν φυγήν. Πλήν ἀλλά καί τάς μεταξύ ταύτας ἡμέρας οὐκ ἔγνωσαν δεῖν ἐν ἀνέσει καί ῥαθυμίᾳ διενεγκεῖν· ἀλλά κακοπαθείᾳ μᾶλλον καί πόνους ἑαυτάς πρός τούς τῆς ἀρετῆς ἱδρῶτας ποιοῦσαι. Ἡ μέντοι Δεσπότις αὐτῶν καί τῆς καλλίστης ταύτης βουλῆς ὁδηγός, ἡ μακαρία Ξένη φημί, οἷα δή προομαλίζουσα ἑαυτῇ τήν τῆς φυγῆς τρίβον, καί ἀπρόσκοπον ὅλως γενέσθαι παρασκευάζουσα, τόν γυναικεῖον ἅπαντα κόσμον, ὅσος τε ἐν ἐσθῆτι, καί ὅσος ἐν ἀργύρῳ τε καί χρυσῷ, λανθάνουσα τούς πατέρας δ' ἐκείνων δή τῶν θεραπαινίδων πρός τούς πένητας ἐξεφόρει. Ἐπί δέ καί ταῦτα εἶ-(362)χεν ἐκείνη καλῶς, καί ὁ καιρός ἤδη τοῦ γάμου παρῆν, τότε καί τόν τῆς φυγῆς τρόπον ἡ Ξένη καί αὐταῖς ὑπετίθει. Μεταβαλοῦσαι γοῦν τάς ἐσθῆτας, καί ὅπως ἔδει τάς τήν ψυχήν ἀνδρικάς, ἀνδρῶν στολάς μεταμφιασάμεναι, οὕτω λαθοῦσαι τούς πυλῶνας ἐξῄεσαν κλαίουσαί τε ὁμοῦ καί χαίρουσαι· μᾶλλον δέ καί τά δάκρυα ἡδονῆς ἦν αὐταῖς καί χαρᾶς δάκρυα. Ἐξῄεσαν οὖν, «Σύ γενοῦ μεθ' ἡμῶν, Υἱέ τοῦ Θεοῦ, λέγουσαι, καί γνώρισον ἡμῖν ὁδόν, ἐν ᾗ πορευσόμεθα, ὅτι πρός Σέ καί γνώμην ὅλην ἠράμεθα καί ψυχήν». Πορευομένων δέ αὖθις ἡ γενναία παραινέσεις πρός αὐτάς ἥπτετο. «Μηδέν ὑμᾶς, λέγουσα, ὦ ἀδελφαί, οὕτω γάρ ὑμᾶς τό λοιπόν ἐγώ καλεῖν ἔχω, μηδέν τῶν γηΐνων ἐπιστρεφέτω πρός ἑαυτό, μηδέν εἰσιέτω, μηδεμία τῆς καλλίστης ὑμᾶς μεταμέλεια· οὐδέν γάρ μακαριώτερον τῆς ὁδοῦ ταύτης εὕροι τις ἄν· εἴγε γάρ τά παρόντα σκοποῦμεν, ἔξω παντός ὄχλου καί πραγμάτων ἡμεῖς· εἴτε καί περί τῶν μελλόντων λογίζεσθαι προῃρήμεθα, οὔτε νοῦς καταλαβεῖν αὐτάρκης, οὔτε λόγος εἰπεῖν, ὅσα τούς τήν ὁδόν ταύτην ἑλομένους περιμένει τά ἀγαθά». Τούτων ἐκεῖναι τῶν λόγων ἀνά τήν πορείαν ἀκούουσαι διεθερμαίνοντο τάς ψυχάς, καί τῇ κατά Θεόν ἐλπίδι μᾶλλον ἐρρώνυντο. Πλησίον δέ που γενόμεναι τῆς θαλάττης, πλοῖον ἐμπαράσκευον ἤδη καί ἀποπλεῖν μέλλον, οὐδέ τούτου πάντας αὐταῖς ἀθεεί συμπεσόντος εὑρίσκουσιν, ἐν ᾧ περ ἐμβᾶσαι καί πνεύματος ἐπιφόρου τυχοῦσαι τήν Ἀλεξάνδρειαν ἐν βραχύ φθάνουσιν. Εἶτα ἐκεῖθεν ἀπάρασαι πάλιν παρ' αὐτῇ νήσῳ τῇ Κῷ γίνονται. Πάντα γάρ ἐποίουν πρός τό λαθεῖν, καί ὥστε ζητουμένας ἀγνώστους γίνεσθαι· οὐ μήν ἀλλά καί ἄλλως ἤρεσεν αὐταῖς, ἐνταῦθα τῆς τε ὁδοῦ παύσασθαι, καί ἀνέσει δοῦναι καί σώματα καί ψυχάς, ἅτε πολλήν ἡσυχίαν τῆς νήσου παρέχειν οὔσης ἐπιτηδείας· ἔπειτα δέ καί πρός τό ἀφώρατον πλεῖστα συναιρομένης. Ὡς οὖν ἐν τῷ ἀσφαλεῖ κατέστησαν, τό γυναικεῖον αὖθις ὑπέρ-

χονται σχῆμα· εἶτα οἴκημα πρός τινα ἰδιάζοντα τόπον λαβοῦσαι ·Ἁσθοῦ, ἐκεῖ τῆς κατά Θεόν φιλοσοφίας ἐπιμελῶς εἴχοντο. Τοῦτο δέ τῇ Ξένῃ ιαφερόντως τό σπουδαζόμενον, μηδενί γενέσθαι καταφανῆ μητ' αὐτήν, μήτε τήν κατά Θεόν αὐτῆς ἀγωγήν· ἀλλ' ὅλως τοῖς ἀνθρώποις ἀγνοηθεῖσαν οὕτω μάλιστα γνωστήν γενέσθαι Θεῷ. Καί γάρ τήν τε φήμην ἄλλως ἐδυσωπεῖτο, ὑπώπτευε δέ καί τήν τῶν πατέρων ἔρευναν ἰσχυρῶς. Ἤδει γάρ, ὅτι μή ἀμελές χρῆμα, μηδέ ῥᾴδιον ἐνεγκεῖν φιλτάτης παιδός ἀπώλειαν, φιλοστόργοις πατράσιν· ἀλλά πρόθυμοι ἄν εἶεν τήν αὐτῆς εὕρεσιν πρίασθαι καί ψυχῆς. Διά ταῦτα καί ταῖς θεραπαινίσι παρήγγελλεν, ὅσαι ὧραι καί ἀσφάλεια ἥτις ἦν αὐταῖς ἐπετίθει τοῦ μή τινι τό ἀπόρρητον ἐξειπεῖν, κἄν τις εἴη φησίν ὁ περί τοῦ ἐμοῦ ὀνόματος ἐρωτῶν. Ἡμεῖς δέ μή Εὐσεβίαν, ὥσπερ ἄρα καί κέκλημαι, ἀλλά Ξένην εἴπατε καλεῖσθαι, καί γάρ εἰμι, ὡς ὁρᾶτε, Ξένη· καί οὕτως ἄν ἡμῖν γένοιτο. Ψεύδους τε (362) καθαράς εἶναι καί ἑαυτάς ἀγνώστους τηρεῖν, καί ταῦτα μέν πρός ἐκείνας. Ἐπεί δέ καί τόν πρός σωτηρίαν αὐταῖς ἡγησόμενον διά σπουδῆς εἶχον εὑρεῖν, οὐκ ἄλλως πως ἤ παρά Θεοῦ καί τούτου τυχεῖν ἤθελε. Κλίνασα τοιγαροῦν γόνατα καί καρδίαν μετά δακρύων προσηύχετο. «Ὁ Θεός, λέγουσα, ὁ πανταχοῦ παρών, καί ἡμᾶς οὕτω πλανωμένας ὁρῶν, μή περιΐδῃς· μή καταλίπῃς δι' ὅν καί γονεῖς καί οἰκίαν απολιποῦσαι, τό ξενιτεύειν εἱλόμεθα· ἀλλά σωτῆρά τινα καί ὁδηγόν ἀπλανῆ εὐδόκησον ἐπιπέμψαι, ὥσπερ Παῦλον Θέκλῃ τό πρότερον, (σελ. 5η) ᾧ κατακολουθοῦσαι καί οὗ τῶν ἰχνῶν ἑπόμεναι βαδίσαι τήν σοί ἀρέσκουσαν ἀπροσκόπτως αἱ ταπειναί δυνηθείημεν». Ταῦτα προσευχομένης εὑρέθη αὐταῖς τό τοῦ Ὠσηέ: «Ὡς ὄρθρος ἕτοιμος ὁ Θεός τήν νύκτα τῶν δυσχερῶν διαλύων». Εὐθύς γάρ ἄνθρωπός τις ὡρᾶτο τοῦ λιμένος ἄρτι πρός αὐτάς ἀνιών, πολιός τήν τρίχα, τό εἶδος ἀσκητικός, τήν ὄψιν λαμπρός, καί ὡσάν τις εἴποι, τό σύμπαν ἀγγελικός. Τοῦτον ἡ τοῦ Χριστοῦ παρθένος ἰδοῦσα χαρᾶς τε πνευματικῆς ἐπληροῦτο, καί δραμοῦσα τῶν ποδῶν εἴχετο δάκρυα μέν ἐπ' αὐτῶν καταχέουσα, αἰτουμένη δέ μή παριδεῖν ὅλως ἀλλά προσχεῖν σωτηρίας ἐφιεμένας, καί μή διαλιπεῖν διδάσκοντα, παραινοῦντα, πρός τήν εἰς Θεόν ἄγουσαν ὁδηγοῦντα, καί συνελόντα φάναι πάντα ταῖς ξέναις ἡμῖν γινόμενον. Καί ὁ μοναχός οὕτως ἰδών ἔχουσαν τήν παρθένον, τίνες τε εἶεν εὐθύς ἐπηρώτα, καί ὅπως οὕτω μόναι περί τήν νῆσον ἀλῶνται. Μαθών δέ ὅτι Ῥωμαῖαι μέν τό γένος, ξέναι δέ διά τόν Θεόν καί ἀλήτιδες, καί ὅτι καί τό προσελθεῖν αὐτάς καί ὀφθῆναί τισι τῶν ἐνταῦθα ἐπ' αἰσχύνην φέρων, ἐπεί καί ὅλως οὐκ ἀνεκτόν, ἀλλ' ὑμᾶς γε ἔφη· καί περί ἐμοῦ βούλομαι ταῦτα ὑπολαμβάνειν. Ξένος γάρ κἀγώ καί τόπου τοῦδε παντάπασιν ἀμαθής, ἄρτι τῶν ἱερῶν ἀποπλευκώς τόπων. Ἐκεῖ γάρ γενόμενος προσευχῆς χάριν, νῦν πρός τήν πατρίδα κατέρχομαι τήν ἐμήν· ἤρετο γοῦν ἡ μακαρία. Καί ποίας ἄν εἴη πόλεως; τί δέ καί τό ἀξίωμα, ὅ περιβέβλησαι; καί γάρ ἔδοξεν αὐτόν ἐπίσκοπον εἶναι, ὅσον ἀπό τοῦ σχήματος ὑπῆν ἐννοεῖν. Ὁ δέ, πατρίς μέν ἐμή, ἔφη, Καρία· πόλις δέ Μύλασα· σχῆμα δέ τῇ στολῇ τοιόνδε τῷ πρεσβύτερον μέν εἶναι καί Ποίμνης ἡγεῖσθαι δή τινος ὀλίγης, τοῦ μεγάλου φημί τῶν Χριστοῦ Μαθητῶν Ἀνδρέου, ὄνομα δέ μοι, βούλει γάρ ἴσως καί τοῦτο μαθεῖν «Παῦλος». Τήν δέ τό «Παῦλος» ἀκούσασαν θάμβος οὐ μικρόν ἤρει, ὅπως οὕτως εὐξαμένης διδάσκαλον αὐτῇ τοιοῦτον, ὁποῖον δή καί Θέκλῃ τόν Παῦλον φανῆναι, ταχύτατα τῆς εὐχῆς ὁ Θεός, μᾶλλον δέ καί πρό τῆς εὐχῆς ἤκουε ταύτης. Ἵνα τό τοῦ Δαβίδ εἴποιμεν. «Ἐν τῇ τῆς καρδίας ἑτοιμασίᾳ», καί οὗτος ἦν ὁ

μέλλων ὀφθήσεσθαι ταύτη Παῦλος, οὐ πράγματος μόνον ἀλλά καί ὀνόματος κοινωνῶν. Δακρύων οὖν τούς ὀφθαλμούς πλήσασα, πολλήν τῷ μέν Θεῷ τήν εὐχαριστίαν, τῷ Παύλῳ δέ προσῆγε τήν ἱκετείαν, γενέσθαι αὐτῇ κατά πνεῦμα Σωτῆρα, καί ὅλην δή τήν ἐκείνης ὑπελθεῖν πρόνοιαν. Ὁ δέ, ἐνταῦθα μέν οὔσας, φησί, οὐδέν τι πλέον (364) ὀνῆσαι δυνατός ἔσομαι ξένος ὤν καί αὐτός, καί κατά πάροδον ὑμῖν ἐντυχών, καί ἄλλως οὐδέ προσμένειν οἷός τε ὤν πλέον. Δεῖ γάρ ἐπανελθεῖν φησι τήν ἑαυτῶν Ποίμνην ἡμᾶς ἐπισκεψομένους. Καί ὑμεῖς δέ εἴπερ βουλομέναις ἐστί τοῦτο ἀπιοῦσιν ἡμῖν ἕψεσθαι, οὕτω γάρ καί αὐτός οὐδέν τῆς κατά δύναμιν ὑμῶν προνοίας ὀλιγωρῶν ἔσομαι. Ἐπεί οὖν ἀσμένως τόντε λόγον ἐδέξαντο καί ἀκολουθεῖν ἐπηγγείλαντο, λαβών αὐτάς εἰς Μύλασα τήν πόλιν καταίρει, οἰκήματά τε αὐταῖς εὖ ἔχοντα πρός ἡσυχίαν πλησίον τοῦ ἱεροῦ δίδωσιν, ἔνθα καί οἶκον εὐκτήριον ἡ Ξένη, Στεφάνῳ τῷ Πρωτομάρτυρι ἀνιστᾷ. Ἐντός δέ ὀλίγου χρόνου καί παρθένων συνίστησι Μοναστήριον, τῶν ἱερῶν τοῦ Παύλου φροντίδων καί αὐτό ἀναρτήσασα. Οὐδενί μέντοι παρ᾽ ὅλην αὐτῆς τήν ζωήν γνώριμον ὑπῆρξε τίς τε ἦν, καί πόθεν καί δι᾽ ἥν ἄρα τήν αἰτίαν τῶν οἰκείων ἀναχωρῆσαι, καί πῶς δή καλοῖτο. Ἀλλά Ξένην πρός πάντας ἔφασκεν ὀνομάζεσθαι καί τοῦτο αὐτῇ εἶναι ὄνομα κύριον, ἔλεγέ τε καί λέγουσα ἔπειθε καί Παῦλος δέ ὁ Μακάριος, τοῖς ἐρωτῶσιν, ἐκ τῆς Κῶ τῆς νήσου λέγων αὐτάς ἀγαγεῖν, οὐκ ἄπιστα λέγειν οὐδέ ψευδῆ ἐνομίζετο· ὅθεν καί τό Μοναστήριον αὐταῖς τῶν Κῴων ἐλέγετο εἶναι· ἀκολουθοῦντος δηλαδή τοῦ ὀνόματος τῇ τῶν πολλῶν δόξῃ καί τοῖς φημιζομένοις. Κυρίλλου δέ τοῦ τῆς πόλεως τήν ἐπισκοπήν ἐπιτετραμμένου τηνικαῦτα τόν βίον ἀπολιπόντος, τῇ πόλει κοινῶς ἐψηφίζετο τόν τοῦ Κυρίλλου θρόνον τόν Παῦλον ἀντιλαβεῖν· ὅ δή καί τέλος εὐθύς εἶχε, καί τήν χειροτονίαν οὗτος ἐδέχετο· ἀμέλει καί Πρόεδρος οὕτω Μυλάσης ἀναδειχθείς, πείθει καί τήν Ξένην τόν ἱερόν βαθμόν ἀναβῆναι, καί χειροτονεῖ ταύτην Διάκονον. Ἥτις ἐπεί τήν τῆς διακονίας ἐπιστεύθη τιμήν, ἀξίως μέν, ἀκουσίως δέ, οὐκ ἔστιν εἰπεῖν ὅσοις πόνοις τό σῶμα παρέδωκε. Καί μάλιστα τρυφῇ πάσῃ τό πρότερον καί εὐπαθείᾳ συνειθισμένον, καί οἷον ἄϋλον καί ἀσώματον, ὡς καί αὐτούς τούς δαίμονας πόῤῥωθεν ὑποφρίσσειν τήν ἀποτομίαν τῆς ἀγωγῆς, καί μηδέν πλησιάσειν ὅλως ἐκείνην τολμᾶν· ἥ γε λύουσα μέν πολλάκις τό πάνυ σύντονον καί τραχύ τῆς ἀσκήσεως, οὐκ ἐντός δύο καί τριῶν ἤσθιεν ἡμερῶν· ὅτε δέ ἀγώνων ἥπτετο, καί ἀκριβείας ὡς εἰκός εἴχετο, καί εἰς ἑπτά παρέτεινεν ἄσιτος νόμοις μαχομένη φύσεως, δι᾽ αὐτόν νόμον Πνεύματος· πλήν ἀλλά καί οὕτως, ὀψέ καί μόλις εἰς τροφήν κατιοῦσα, καί πρός τό σῶμα διά τόν σύνδεσμον βλέψασα, οἴνου μέν καί ἐλαίου, λαχάνου τέ φημι καί ὀσπρίου, καί παντός ὡς εἰπεῖν, ὅ διά πυρός ἔχει τήν χρῆσιν, ὅλως ἀπείχετο· πρός δέ καί ὅσα φέρουσιν ὧραι, πάντων ὁμοίως ἄγευστος ἦν· ἄρτῳ δέ μόνῳ τήν χρείαν ἐπλήρου, καί τοῦτον οὐχ ἁπλῶς οὕτω καί ἀπόνως προσιεμένη, ἀλλά τοῖς δάκρυσι βρέχουσα, τῇ σποδῷ τε τοῦ θυμιατηρίου προσμάσσουσα· ὡς μηδέ τό ἐσθίειν, ὅ κοινῇ τοῖς φιλοπόνοις ἐστί μετρία παράκλησις, ἄ-(365)πονον αὐτῇ εἶναι καί κακοπαθείας ἐλεύθερον· καί οὗτος τρόπος τῇ Ξένῃ τροφῆς, παρ᾽ ὅλην αὐτῆς τήν ζωήν ὡς καί αὐτήν μετά τοῦ Δαβίδ τοῦ θείου «σποδόν ὡσεί ἄρτον φαγεῖν, καί κιρνᾶν τό πόμα μετά κλαυθμοῦ». Ταῦτα δέ ποιοῦσα, καί οὕτως ἄρτον ὀδύνης ἐσθίουσα, ἵνα καί αὖθις τά τοῦ Δαβίδ φθέγξομαι, εἰ καί τάς ἄλλας τῶν ἀδελφῶν, ἀλλά τάς δύο ταύτης παρέδρους καί τῆς φυγῆς κοινωνούς λανθάνειν οὐκ εἶχε καί γάρ ἦσαν κρυ-

φίως τά ὑπ' αὐτῆς γενόμενα βλέπουσαι· καί οὕτως ὥστε ὁρώσας αὐτάς μή ὁρᾶσθαι, μᾶλλον δέ οὐχ ὁρῶσαι μόνον ἀλλά καί ζηλοῦν κατά τό δυνατόν αὐτῇ σπεύδουσαι. Οὕτω δέ τροφῆς ἔχουσα λίαν ἐνδεῶς καί ἠναγκασμένως, ἄρα τῷ ὕπνῳ ἄλλως οὐκ ἐχρῆτο· καί οὕτω τήν βίαν παρεμυθεῖτο τοῦ σώματος, καί ὑπό πολλῆς ἀσιτίας κάμνον αὐτό, καί οἱονεί καταπῖπτον ὑπῆρε δέ τε καί ἀνελάμβανεν· οὐμενουν ἀλλά καί ἐνήστευε μέν οὕτω καρτερῶς, ὥστε τοῦτο μόνον ἀρκοῦν εἶναι τόν τόνον ὑπολύειν τοῦ σώματος, καί εἰ μηδέν ἕτερον ἦν τό συντεῖνον εἰς κακοπάθειαν, ἠγρύπνει δέ μᾶλλον ἤ ἐνήστευε, καί οὕτως κατεπόνει τήν σάρκα ὅλῃ χειρί βοηθοῦσα τῷ πνεύματι· καί τοῦτο δῆλόν ἐστιν, ἐξ ὧν τῇ εὐχῇ συνήθως ἑαυτήν ἐπιτρέπουσαν Ἡλίου πρός δυσμάς ὄντος, οὐ πρότερον ἤ τάς ἀδελφάς συνελθεῖν περί τάς ὄρθρου ᾠδάς ἔλυε τήν εὐχήν, ἀλλ' οὕτως ὑπ' αὐτῶν ἔστιν ὅτε καί κατελαμβάνετο ἠρμένη τάς χεῖρας· ἄλλοτε δέ εἰς ἑσπέραν τῇ γῇ τά γόνατα δοῦσαν ἡ ὅλη νύξ αὐτήν εἶχε κειμένην οὕτω καί κλαίουσαν, καί Θεῷ θερμῶς εὐχομένην· καί ὅ πάντων θαυμάζειν ἄξιον, ὅτι τοιοῦτον εἶχε τό φρόνημα ταπεινόν, ὡς μηδένα φημί τῶν τά πονηρότατα δρώντων, ἐπίσης αὐτῇ δύνασθαι μετριοφρονεῖν, καί ἵνα τἄλλα παρῶ, ὥστε καί τήν ἀκοήν ἐνοχλήσειν διά τό πλῆθος, ἀλλά τά γε ἰδιαίτατα ταύτης καί ὡς ἄν εἴποις σαφῆ γνωρίσματα, ταῖς φιλοσόφοις παραδώσω ψυχαῖς. Τό καθ' ὑπερβολήν πρᾷον, καί τό μηδέποτε μηδενί φανεράν γενέσθαι ὀργιζομένην, τό τῆς ἀγάπης ἄκρως φιλάδελφόν τε καί κηδεμονικόν, τό πρός κενοδοξίαν κομιδῇ μισοπόνηρον, τό τῶν ἐνδυμάτων δεινῶς ἰδιωτικόν, καί ὅ μηδενός ἄλλου ἦν πρός εὐτέλειαν ἐξισούμενον· τοιαῦτα γάρ (σελ. 3η) τά τῆς εὐγενοῦς ἐκείνης ἐσθήματα, οἷα ἄν καί τῶν ἐπί τῆς ἀγορᾶς ἐπαιτούντων ἀπηξίωσέ τις ὀφθῆναι φορῶν. Τό τῆς καρδίας ἐσχάτως νήνεμόν τε καί γαληνόν, οὕτω χωρῆσαν εἰς βάθος καί ποιωθέν, ὡς καί δῆλον ἀπό τῆς ἔξω γενέσθαι καταστάσεως· ἐπί πᾶσιν ὅ καί τετάχθαι πρό πάντων ἄξιον, τό σύνουν αὐτῆς καί προσεκτικόν καί ἀκριβῶς ἀδιάχυτον, ἐξ οὗπερ ἀκολουθοῦν εἶχε τό μηδέποτε ταύτης τούς ὀφθαλμούς δακρύων ὁρᾶσθαι κενούς, ἀλλ' ὠδίνειν ἀεί κατά τάς ἀεί κλυζούσας τῶν ὑδάτων πηγάς. Ταύτης οὖν τόν βίον μελλούσης ἀπολιπεῖν ἑορτή μέν ἦν τοῦ μακαρίου Ἐφραίμ, οὐχ ὅν ἡ Σύρων ἔθρεψε γῆ, ἀλλά γνωρίμου καί συνήθους τῇ πόλει, τοῦ τόν θρόνον φημί τῶν Μυλασαίων πε-(366)ριφανῶς κοσμήσαντος· ὁ μέντοι ἐπίσκοπος Παῦλος συνάμα παντί τῷ πλήθει τῆς πόλεως ἐπί τήν Λευκήν κώμην ἀπῄει, ἐκεῖ γάρ καί ὁ Ναός ἦν, καί τό τοῦ θείου Ἐφραίμ ἐναπέκειτο λείψανον, καί τά τῆς ἑορτῆς πάντα λαμπρῶς ἐτελεῖτο. Ἡ δέ, πάσας αὐτῇ τάς ἀδελφάς μετακλήτους ποιησαμένη, λόγων ἤρχετο πρός αὐτάς τοιῶνδε πολύ τό μέτριον ἐχόντων, καί τῷ μετρίῳ συγκεκραμένον καί τό φιλάδελφον. «Κυρίαι μου καί ἀδελφαί λέγουσα, ἐγώ μέν τήν πολλήν ὑμῶν περί ἐμέ κηδεμονίαν ἀκριβῶς λίαν ἐπίσταμαι· καί ὥσπερ ξένης καί πλανήτιδος οὔσης ἀντελάβεσθέ μου τῆς ἀσθενείας καί εἴσω τῶν ὑμετέρων ἔθεσθε σπλάγχνων, καί φιλανθρώπους ὅμως ᾠκειώσασθε· ἀλλά καί τανῦν δέομαι μηδέ ἀπιούσης λήθῃ τό ἐμόν δοῦναι, ἀλλά πολλῷ μᾶλλον αὐξῆσαι φίλτρον, καί τήν ἐμήν μνήμην ἀνάγραπτον ταῖς ὑμῶν ὁσίαις ἐγχαράξαι ψυχαῖς. Καί ἡνίκα δι' ἄν καί Θεῷ προσεύχησθε καί χεῖρας ὁσίας αἴρητε πρός αὐτόν, κἀμοῦ τῆς εὐτελοῦς, καί τί γάρ ἄλλο ἤ δούλης ὑμῶν; εἴητε μεμνημέναι· οὕτως ἐγώ ζῶσα καί ἀθάνατος ἔσομαι, καί μετά τέλος, εἴτις αἴσθησις, διαφερόντως ᾐσθήσομαι. Νῦν γάρ ὡς ὁρᾶν ἔχω, τέλος ἔχει τά καθ' ἡμᾶς, καί μέ τις ὀδύνη συνέχει, καί φόβος

ἄρρηκτος διασείει μου τήν καρδίαν, μή μοι γένωνται ἐμποδών αἱ πολλαί, ἁμαρτίαι μου, ἀλλ᾽ εὕροιμι τάς ὑμῶν ἱεράς εὐχάς ὁδηγούς ἀγαθούς καί τήν ὁδόν μοι ταύτην εὐμαριζούσας· κἀκεῖνο δέ πάλιν οὐ μετρίως θρύπτει μου τήν ψυχήν, ὅτι καί Παύλου τοῦ κοινοῦ Πατρός ἀπολέλειμμαι καί οὐδέ αὐτός τυγχάνει παρών, ὑπερευξόμενός μου ἄρτι τῆς ἀποδημίας, καί ἀγαθῶν ἐλπίδων οὐκ ἔρημα τά ἐκεῖ θήσων. Ἀλλ᾽ ὑμεῖς γε ἐλθόντι εἴπατε· καί ἀνθ᾽ ἡμῶν πάνυ ἐπιμελῶς δεήθητε, μή ἐπιλαθέσθαι μου τῆς ξένης, ἥν αὐτός κατά τόν Χριστοῦ λόγον συνήγαγε τήν ὁδόν». Ταῦτα αὐτῆς λεγούσης, ἀστακτί τό δάκρυον πάσαις ἀπέρρει τῶν ὀφθαλμῶν, λύπη τε ἀπορρήτῳ τήν ψυχήν ἐσπαράττοντο, καί ἀθυμίᾳ συνείχοντο, καί οἱονεί κοινῆς μητρός καί φιλόπαιδος ἀπιούσης κύκλῳ περιιστάμεναι τήν ὀρφανίαν ὠδύροντο· πολλῷ δέ πλέον τῶν δύο θεραπαινίδων αὐτῆς, ἅς καί τῆς φυγῆς εἶχε καί τῆς ἐν τῇ ξένῃ διαγωγῆς κοινωνούς τοῦ πάθους ἥπτετο. Πολλοῦ γοῦν ὡς εἰκός κλαυθμοῦ καί οἰμωγῆς καί ταράχου συγκινηθέντος, εἰς οἶκτον καί αὐτή καί δάκρυα κατηνέχθη, ἀλλά θᾶττον αὐτή τε ἀνήνεγκε, κἀκείναις παρῄνει τῶν ὀδυρμῶν ἀφεμένας ἑαυτάς εὐτρεπίζειν, καί τοῦτο μᾶλλον σκοπεῖν, ὅπως μή ἐν τῷ τέλει, φησίν, ἄξια δακρύων ᾖ τά ἡμέτερα· δεῖ γάρ τάς φρονίμους τῶν παρθένων ζηλῶσαι, καί τάς λαμπάδας ἀνάψαι, καί τοῦτο θέσθαι διά φροντίδος, ὥστε δή καί ἔλαιον ἐν τοῖς ἀγγείοις λαβεῖν· ἐμέμνητο δέ καί θείων ῥημάτων ὅτι «Μή βραδυνεῖ Κύριος· ἥξει γάρ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης». Ἐπεί δέ καί μετά τήν παραίνεσιν ἔτι μᾶλλον αὐτάς εἶχε τό πένθος καί τῆς κλίνης λίαν περιπαθῶς εἴχοντο, αὕτη καί χεῖρας (367) καί ὄμματα πρός οὐρανόν ἄρασα καί τοῖς τῶν ὀφθαλμῶν δάκρυσι τήν ἔνδον διάθεσιν τῆς ψυχῆς ἀπαγγέλουσα, «ὁ Θεός, ἔφη, ὁ πάντα μέχρι τοῦ νῦν φιλανθρωπότατα γεγονώς, καί Πατήρ καί Μήτηρ καί τροφός καί Πατρίς, τό μόνον καί ἡδύ τῆς ξένης ἐμοῦ παραμύθιον, αὐτός με καί νῦν εἰς τήν ἄνω πατρίδα τήν πόλιν τήν σήν Ἱερουσαλήμ παραλαβεῖν, Δέσποτα, καταξίωσον. Μνήσθητι δέ καί τούτων πασῶν, αἵ κατά πνεῦμα ἀδελφικῶς συνηρμόσθησαν καί ἀνωτέρας αὐτάς πάσης ἐνέδρας τοῦ πονηροῦ διατήρησον. Καί τούτων δέ μοι τῶν δύο τῶν κατ᾽ ἐξαίρετον ὁμοδούλων, ὁ ἀγαθός μνήσθητι, καί ὥσπερ ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ, καί φυγῆς ἐμοί καί πόνων καί τῶν ἄλλων τῶν ἐν τῇ ξένῃ κακῶν ἐκοινώνησαν, οὕτω, κἀκεῖθεν ἡμᾶς ἀχωρίστους καί τῆς παρά Σοί μακαρίας ἀπολαύειν ζωῆς καταξίωσον». Ταῦτα προσευξαμένη μικρόν ἀφεῖναι αὐτῆς τάς ἀδελφάς ἠξίου· οὗπερ δή γενομένου, κἀκείνων ἐξελθουσῶν, τῆς κλίνης ἡ Ξένη διαναστᾶσα τῷ εὐκτηρίῳ προσέρχεται· εἶτα ἐγκλεισαμένη καί γόνυ δοῦσα τῇ γῇ συντεταμένως προσηύχετο, τῶν δύο θεραπαινίδων ἔξωθεν φιλοπόνως αὐτά παραθεωμένων τῆς εὐχῆς οὖν ἐπί πλεῖστον αὐτῆς παρατεινομένης, ἀθρόον ὁρῶσι φῶς τόν οἶκον περιλάμψαν φαιδρόν, ἀρρήτου τέ τινος αἰσθόμεναι εὐωδίας, οὐδενί τῶν ἐπί γῆς ἀρωμάτων εἰκαζομένης, τάς πύλας εὐθύς ἀνοίγουσι, καί συνεισπεσοῦσαι ἐκ θείας οἰκονομίας τήν μακαρίαν ὁρῶσι Ξένην μακαρίως ὑπνώσασαν, καί τήν πρός ὅν ἐπόθησε Χριστόν σταλαμένην, ἕκτης ὥρας καθ᾽ ἡμέραν Σαββάτου ἱσταμένης. Ἐξῆλθον οὖν καί τάς ἀδελφάς ἐν κλαυθμῷ καί βοῇ συγκαλέσασαι, περιίσταντό τε αὐτήν, καί ἅμα πᾶσαι ἐκόπτοντο. Ὁ μέντοι Θεός, δεῖξαι πᾶσι βουλόμενος ἄνωθεν οἷον φῶς ἐν ταῖς τοῦ βίου τοῦδε δυσμαῖς ἐκρύπτετο, μεγίστῃ ταύτην μετά τό τέλος θεοσημείᾳ τιμᾷ· ἤδη γάρ ἀπολιπούσης αὐτήν τῆς ψυχῆς, μεσούσης ἡμέρας, αἰθρίας τε οὔσης, καί τοῦ ἡλίου φαιδρότατα λάμποντος, στέφανος

οἷος ἐν τῷ οὐρανῷ διαφαίνεται, δι᾿ ἀστέρων τόν κύκλον περιγραφόμενος· ἐν τῷ μέσῳ δέ τοῦ στεφάνου σταυρός καθωρᾶτο λαμπροῖς ἀστράσι καί οὗτος σχηματιζόμενος· τοῦ θαύματος οὕτως οὖν ἅπασι γενομένου καταφανοῦς, ὁ Ἐπίσκοπος Παῦλος ἔτι παρά τήν Λευκήν κώμην διάγων καί τό παράδοξον τοῦτο θέαμα ὀφθαλμοῖς ἰδίοις παραλαμβάνων, θείῳ Πνεύματι κινηθείς, ἡ κυρία Ξένη, πρός τούς συνειλεγμένους ἔφη, κεκοίμηται, καί Ταύτης ἄρα τό σημεῖον τοῦ στεφάνου τούτου καί τοῦ Σταυροῦ. Ἐπεί δέ καί τέλος αὐτῷ τά τῆς ἱερᾶς εἶχε μυσταγωγίας, κατά σπουδήν ἐκεῖθεν ἀνήει· συνανήει δέ αὐτῷ καί ὁ λοιπός ἅπας ὄχλος· εἶτα καί τῆς πόλεως ἔνδον γενόμενοι, θεωροῦσιν οὐδέν ὅλως διαμαρτόντα τόν Ἐπίσκοπον τῆς προρρήσεως, ἀλλά κατ᾿ αὐτήν τήν ὥραν τήν Ξένην ξένην ὄντως γενομένην τῶν ἐγκωμίων, καθ᾿ ἥν ἤδη καί τό σημεῖον ἐφάνη, καί ὁ πνευματοφόρος οὗτος ἀνήρ τά περί αὐτῆς ἀνεφθέγξατο. Συνέτρεχον οὖν παμπληθεί πάντες, ἄνδρες δηλαδή καί γυναῖκες σύν πολλῇ τῇ βοῇ καί τῷ θαύματι. Δόξα σοι Χριστέ λέγοντες, δόξα τῷ μή λαθεῖν ἐπί γῆς τοιοῦτον εὐδοκήσαντι θησαυρόν. Δόξα σοι πάντων δημιουργέ, ὅτι καί Μύλασαν τήν μικράν ἡμῶν καί μέχρι τοῦ νῦν ἄδοξον πόλιν, περιφανῆ τέθεικας, οὕτω καί τοιούτῳ δεδωκώς σεμνύνεσθαι κειμηλίῳ. Καί οὕτω μέν κοινῶς ἅπαντες πολλῷ δέ μᾶλλον τά πλήθη τῶν γυναικῶν, ἅμα μέν τῷ θερμοτέρῳ κινηθεῖσαι τῆς φύσεως, ἅμα δέ καί τῷ τήν ὁμογενῆ βλέπειν οὕτω θαυμαστήν, ἀκαθέκτως ἑαυτῶν ἔχουσαι, προσίασι τῷ Ἀρχιερεῖ μεθ᾿ ὁρμῆς ὅσης λέγουσαι: Μή κρύψῃς ἡμῶν τήν τῆς πόλεως δόξαν, μή καλύψῃς τόν ἔπαινον, τόν μαργαρίτην μή καταχώσῃς· κοινήν ταύτην τήν προπομπήν ποιησώμεθα, δημοσίᾳ βαστάσωμεν τόν λύχνον· ἰδέτωσαν πάντες ὡς οὐκ ἀπόβλητα τῶν γυναικῶν, ὡς οὐκ ἄτιμα, ἰδέτωσαν, οἵου δοῦλαι τυγχάνομεν Βασιλέως. Ἰδέτωσαν Ἕλληνες, Ἰουδαῖοι, καί ἐντροπῇ τά πρόσωπα καλυπτέτωσαν. Γνώτωσαν, τίς ὁ σταυρωθείς ὑπ᾿ αὐτῶν καί κοψάσθωσαν. Αἱ μέν οὖν γυναῖκες οὕτως ὁ δέ γε Ἐπίσκοπος τῇ κλίνῃ τε προσελθών καί αὐχένα κλίνας μεθ᾿ ὅσης ἄν εἴποις τῆς αἰδοῦς καί τῆς εὐλαβείας τῷ σώματι προσεκύνει· πρός δέ καί ὁ λοιπός τῶν ἱερέων χορός καί κλῆρος, ἅπας τῇ κειμένῃ προσῆγον τιμήν. Καί οὕτω τήν κλίνην διαβαστάσαντες ὑπό πολλῷ τῷ φωτί τῶν λαμπάδων, καί τοῖς ἀρώμασι, διά μέσης ἦγε τῆς πόλεως· ὁ δέ τῶν ἀστέρων ἐκείνων χορός καί σύν αὐτῷ δήπου καί ὁ Σταυρός (368) φερομένης καί αὐτός εἵπετο· ἱσταμένης δέ καί αὐτός δῆλος ἦν ἑστηκώς· καί μονονουχί τήν κλίνην παραδεικνύς καί φθεγγόμενος, ὅτι διά ταύτην ἐκεῖνος ὑπ᾿ αὐτήν ὁδηγῷ τήν ἰδίαν κίνησίν τε καί στάσιν οὗτος ποιεῖ· ὁ δέ λόγος τοῦ θαύματος καί τούς ἔξω σπουδῇ περιήει, καί πάντες συνέτρεχον εὐθύς θεασόμενοι, ὡς μικροῦ δεῖν τήν πόλιν στενοχωρεῖσθαι τοῖς πλήθεσι. Πᾶσαν οὖν τήν νύκτα ἐκείνην οὕτως διαγρυπνήσαντες, ἥτις καί κυρία τῶν ἡμερῶν ἦν, πολλάς ἐθεῶντο καί ἰάσεις ὁμοῦ τελουμένας· πᾶς γάρ ὅστις ἤ χρονίᾳ νόσῳ ἤ πάθει ἀνηκέστῳ κεκράτητο, οὐ πόνων ἐδεήθη πολλῶν, οὐ χρημάτων, οὐ χρόνου τε καί διατριβῆς· ἀλλά προσεγγίσαι μόνον τῇ κλίνῃ καί ἅψασθαι, καί ἀφή παντός ἦν εὐθύς ἀπαλλαγή τοῦ πιέζοντος. Ἡμέρας οὖν ἤδη διαλαμψάσης, καί τρίτης ἑστώσης ὥρας, ἐπεί τόν τόπον κατέλαβον, ὅς Σικίνιον μέν καλεῖται, πρός τῷ νοτίῳ δέ τῆς πόλεως διάκειται μέρει, ἔνθα καί ἡ Ξένη ταφῆς τυχεῖν ἐπισκήψασα ἦν· θάπτουσι ταύτην λόγῳ μέν θανάτου τῇ γῇ κρυπτομένην· λόγῳ δέ ἀρετῆς πανταχόσε κηρυττομένην. Ἐθεωρεῖτο δέ αὖθις ὅ τε κύκλος καί ὁ σταυρός τά ὅμοια δρῶντες· οὐρανόθεν

τε τῇ κλίνῃ καί ἱσταμένῃ ἱστάμενος, ἅμα τε τῷ κρυβῆναι ταύτην τῇ γῇ καί αὐτός κρυβείς, καί μηκέτι δῆλος μηδενί γενόμενος (369). Οὕτως οὖν ἐκεῖ ταύτην καταθέντες καί ὥσπερ εἰκός ἦν μυρίσαντες τάς ἐπικειμένας τῷ λειψάνῳ σινδόνας περιμάχητον αὐτοῖς ἐποιοῦντο χρῆμα· ὁ Ἐπίσκοπος δηλαδή καί οἱ περιεστῶτες, καί ὥσπερ τινά κλῆρον εἰς ἀλλήλους διανειμάμενοι, παθῶν ἅμα τε καί νοσημάτων καί παντός ἑτέρου λυποῦντος ἀπαλλαγήν ἔχειν δι᾽ ἐκείνων ἐπίστευον· καί τῶν ἐλπίδων οὐ διεψεύσθησαν, ἀλλά μήν καί ὁ τόπος πλήρης ἰάσεων, ὅς τό ἱερόν αὐτῆς κρύπτειν ηὐμοίρησε σῶμα, θησαυρόν ἀκένωτόν τε καί ἀδαπάνητον. Οὐ πολύς ἐν τῷ μεταξύ χρόνος, καί αἱ πισταί αὐτῆς θεράπαιναι, αἱ τοῦ Θεοῦ μᾶλλον εὐάρεστοι δοῦλαι τόν βίον ἀπολιμπάνουσι, καί πρός τοῖς ποσί θάπτονται τῆς Δεσποίνης, ἑλόμεναι μᾶλλον ἀπό τῆς ἀληθείας, ἤ ἀπό τοῦ νόμου ταπεινώσεως οἰκονομηθέντος δείκνυσθαι, ἤ ἐν ταυτῷ καί τά τῆς εὐνοίας, καί τῆς στοργῆς διά τῆς ἐγγύτητος καί τά τῆς δουλείας πάλιν καί τῆς ὑποταγῆς διά τῆς τάξεως ὑποφαίνεσθαι· ὧν τῆς πρώτης θανούσης οὐδέν περί τῆς ἑαυτῶν φυγῆς ἀποκαλυψάσης, ἐπεί καί ἡ δευτέρα μετά μικρόν ἔμελλεν ἀποθνήσκειν, ὅρκους ὡς ἔνι μάλιστα φρικτοῖς αἱ ἀδελφαί ταύτην καταλαβοῦσαι μηδέν τῶν γενομένων ἀποκρύψαι παρασκευάζουσι, καί εὐθύς πάντα ἐκείνη διηγόρευσε φιλαλήθως· ὅθεν τε ὥρμητο ἡ Ἁγία, καί ὁποίοις Πατράσιν ἐπισήμοις ἐχρήσατο, τίς τε ὁ τῆς πλάνης καί τῆς φυγῆς αὐτῇ λόγος· ὅτι Θεοῦ ἄμαχος ἔρως, δι᾽ ὅν καί πόνους ὑπερφυεῖς καί τήν ἄμετρον ἠνείχοντο κακοπάθειαν, καί τί τό κυρίως ὄνομα· ὅτι «Εὐσεβία»· τούτῳ γάρ ἀπό τοῦ θείου βαπτίσματος ὠνομάζετο, τό δέ ὀνομάζεσθαι Ξένη φερωνύμως δέ μᾶλλον εἰπεῖν διά τό ξενωθῆναι τῶν τοῦ κόσμου προείλετο καί ἵνα καί λάθῃ μᾶλλον ἤ τό λαθεῖν ἀγαπήσασα. Ὀλίγας δέ ὕστερον ἡμέρας καί ὁ μακαριώτατος Παῦλος εὐκλεῶς μετανίσταται, Ποιμήν ἀγαθός τῷ ὄντι γενόμενος καί θαύμασι τόν ἑαυτοῦ βίον μετά θάνατον πιστωσάμενος· καί πλουτεῖ μετά τῶν ἄλλων καί αὐτόν ἡ Μύλασα πόλις καί τό τοῦ Ἀποστόλου Ἱερόν Ἀνδρέου, τόν τούτου νεκρόν ὡς ἱερόν ὑποδέχεται. Καί νῦν εἰσι τῇ Μυλάσῃ κόσμος, πύργοι ἄρρηκτοι, ἀδάπανοι θησαυροί, πάντων ἀγαθῶν χορηγοί. Εἰς δόξαν Πατρός, καί Υἱοῦ, καί Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Ἀντεγράφη ἐκ τοῦ ὑπ᾽ ἀρ. 70 χειρογράφου μεμβραΐνου κώδικος τῆς Ι.Μ. τοῦ Διονυσίου ἐν Ἁγίῳ Ὄρει, κατεταγμένος δέ ἐστιν ὁ βίος οὗτος ἐν τῷ κώδικι ὑπ᾽ αὔξοντα ἀρ. ιζ΄. τῶν περιεχομένων φύλλα Θ΄, ἀπό σελ. 360-369, ἔστι δέ ὁ Κῶδιξ τοῦ μηνός Ἰανουαρίου βίους τῶν ἁγίων περιέχων δίστηλος.

*'Αντίγραφον ἐκ τοῦ Λαυριωτικοῦ Κώδικος.*
*Μηνί 'Ιανουαρίῳ 24 ΚΔ΄. φ. 111βον.*

**Βίος καί πολιτεία τῆς 'Οσίας Μητρός ἡμῶν Ξένης τῆς Ρωμαίας**

*Κύριε εὐλόγησον.*

Δ΄. Πᾶσαι αἱ πολιτεῖαι καί μαρτυρίαι τῶν 'Αγίων θαυμαστήν μιμοῦνται λαμπρότητα. Καθάπερ γάρ οἱ ἀστέρες ἐν τῷ οὐρανῷ τῇ θέσει πεπήγασι, καί πάντα τόν τῆς γῆς καταλάμπουσι κύκλον, οἱ αὐτοί παρά 'Ινδοῖς ὁρῶνται καί παρά Σκύθαις οὐ κρύπτονται, ἐν ἠπείρῳ ἀστράπτουσι, καί κατά θάλασσαν φωτίζουσι, καί κυβερνῶσι τούς πλέοντας· ὧν εἰ καί διά τό πλῆθος τά ὀνόματα ἀγνοοῦμεν, (φ. 112ον) ἀλλά διά τό κάλλος τήν λαμπρότητα θαυμάζομεν, οὕτω καί τῶν ἁγίων ἕκαστον· εἰ καί ἐν τάφοις τά λείψανα περικέκλεισται, ἀλλά τήν δύναμιν αὐτῶν ἡ ὑφήλιος οὐ περιέγραψε. Μέγα τοίνυν ὡς ἀληθῶς καί ἐν τοῖς χρόνοις ἡμῶν μυστήριον καί θαῦμα μέγιστον ἐφανέρωσεν ὁ Θεός, ὅπερ καί δίκαιον ἀπομνημονεῦσαι καί γραφῇ παραδοῦναι. Γέγονεν ἐν τῇ 'Ρωμαίων πόλει τισί τῶν περιφανῶν καί ἐπισήμων ἀνδρῶν μονογενές θυγάτριον, οἷς καί προσελθών τις τῶν μεγιστάνων τῆς αὐτῆς πόλεως, ᾐτήσατο πρός γάμον τήν αὐτῶν θυγατέρα. Καί δή σκεφθέντες (φ. 112 βον) οἱ γονεῖς τῆς κόρης δέχονται τόν ἄνδρα, διά τό καί αὐτόν εἶναι ἐπίδοξον σφόδρα καί ἐν πλούτῳ πολλῷ καί περιουσίᾳ τυγχάνοντα. Ἔταξαν οὖν καιρόν, ἐν ᾧ ἔδει γενέσθαι τόν γάμον. 'Η δέ κόρη, θείου καταξιωθεῖσα πόθου, τῷ αἰωνίῳ Νυμφίῳ συναφθῆναι ἠγάπα· καί τοῦτο μέν τούς γονεῖς αὐτῆς παντελῶς ἀπέκρυβεν· ᾔδει γάρ αὐτούς μηδόλως καταδέχεσθαι ἀκοῦσαί τι τοιοῦτο περί αὐτῆς, διά τό εἰς αὐτήν καί μόνην ἔχειν αὐτούς τήν ἐλπίδα τοῦ κληρονομεῖν τήν ἑαυτῶν περιουσίαν. Δύο οὖν τινας τῶν αὐτῆς θεραπαινίδων ἔχουσα κατά ψυχήν, αἵτινες ἐκ παιδιόθεν συνανεστράφη-(φ. 113αον)σαν. Αὐτῇ λαβοῦσα καθ' ἑαυτήν λέγει. Θαρρῆσαι ὑμῖν βούλομαι πρᾶγμα καί ὁρκίζω ὑμᾶς τόν Κύριον, μή ἐξειπεῖν ἀνθρώπῳ τά τοῦ σκοποῦ μου, ἀλλά μᾶλλον καί συνδοῦναί μοι καί ἔχετε καί τάς ψυχάς ὑμῶν σῶσαι καί τήν ἐμήν ἀθλιότητα. Λέγουσιν αὐτῇ ἐκεῖναι. Πᾶν ὅ,τι κελεύεις ἡμῖν, Δέσποινα, ποιοῦμεν· καί μάλιστα, ὡς ἔφης, ἐπί ὠφελείᾳ τῶν ψυχῶν ἡμῶν, καί ἑτοίμως ἔχομέν σοι συναποθανεῖν, ἤ διαδοῦναί τι τῶν ὑμετέρων λόγων. Τότε θαρρήσασα λέγει αὐταῖς. Οἴδατε, ὅτι οἱ γονεῖς μου μέλλουσί με πρός γάμον ἐκδίδοσθαι, καί ἐμοί ἀκαταθύμιόν ἐστι τό ἐλθεῖν ἐπί γάμῳ, καί σφόδρα βαρύ τό πρᾶγμα καταφαίνεται· διότι οὐδέν ἐστι (φ. 113 βον) τά τοῦ βίου

τούτου, εἰμή σκιά καί καπνός καί ὄναρ· δεῦτε οὖν ὑπακούσατέ μοι καί κοινῶς τόν σεμνόν ἑλώμεθα βίον· καί εἰ τοῦ Θεοῦ θέλημά ἐστι καί συνθέσθε μου τῇ βουλῇ, καί φυλάξατέ μου τούς λόγους· λοιπόν σκεπτώμεθα, τί δεῖ ἡμᾶς διαπράξασθαι· πιστεύσατε γάρ μοι λεγούσῃ, ὅτι κἄν διαδοθῇ τοῖς γονεῦσί μου, καί κινηθῶσιν ἐκεῖνοι κατ᾽ ἐμοῦ, ὥστε καί πυρί καί ξίφει καί θηρσί παραδοῦναι, οὐδ᾽ οὕτως μου τήν προθυμίαν ταύτην μετασαλεῦσαι δυνηθήσονται τοῦ Θεοῦ βοηθοῦντός μοι. Αἱ δέ ἀκούσασαι ταῦτα, εἶπον· τό θέλημα τοῦ Κυρίου γενέσθω (φ. 114αον). Καί γάρ καί ἡμῖν πάνυ οὗτος ὁ σκοπός καταθύμιός ἐστι καί αἱρούμεθα σύν σοί μᾶλλον ἀποθανεῖν, ἤ βασιλεῦσαι ἐκτός σου. Ἐδόξασεν οὖν τόν Θεόν ἀκούσασα ταῦτα παρ᾽ αὐτῶν· καί ἐχουσῶν τῶν τριῶν ἴσον ζῆλον, ἑκάστης ἡμέρας ἐσκέπτοντο, πῶς ἤ τί διαπράξονται· καί τόν Θεόν ἱκέτευον συμπρᾶξαι αὐταῖς. Ἡμέρᾳ οὖν καί ἡμέρᾳ ἐπεδίδουν ἑαυτάς εἰς τόν πόθον τοῦ Κυρίου, καί διεσκόρπιζε δι᾽ ἑαυτῆς καί διά τῶν δύο τούτων αὐτῆς παιδισκῶν τοῖς δεομένοις τόν πλοῦτον, λανθάνουσα ἐν πᾶσι τούς ἰδίους γονεῖς. Τοῦ οὖν καιροῦ λοιπόν φθάσαντος, ἐν ᾧ ἔδει γενέσθαι (φ. 114 βον) τούς γάμους, καί πάντων ἐν εὐτρεπεῖ γενομένων, ἐν μιᾷ σκέπτεται ἡ ἀνδρεία αὕτη μετά τῶν δύο αὐτῆς παιδισκῶν, καί μεταμφιέννυνται τό γυναικεῖον σχῆμα εἰς ἀνδρικόν, καί τινα τῶν ἀναγκαίων αὐταῖς ἄρασαι μεθ᾽ ἑαυτῶν, πάντων ἀπασχολουμένων περί τόν οἶκον, καί τοῦ πυλῶνος ἀνεῳγμένου τυγχάνοντος, σφραγίσασαι ἑαυτάς τῷ σημείῳ τοῦ σταυροῦ καί εἰποῦσαι, «Σύ Κύριε γενοῦ μεθ᾽ ἡμῶν Υἱέ τοῦ Θεοῦ, καί γνώρισον ἡμῖν τήν ὁδόν Σου ἐν ᾗ πορευσόμεθα· ὅτι διά τό ὄνομά Σου τό ἅγιον ἀφίεμεν τόν οἶκον τοῦτον καί πάντα τά ἐν αὐτῷ, καί προαιρούμεθα μᾶλλον θλιβῆναι καί τῶν ἰδίων ἀπαλλοτριωθῆναι, (φ. 115αον) Σέ ποθοῦσαι καί Σέ ζητοῦσαι». Καί ταῦτα αὐτῶν προσευξαμένων μετά δακρύων, ἐξῆλθον αἱ τρεῖς ἐκ τοῦ οἴκου κλαίουσαι ἅμα καί χαίρουσαι. Ὡς οὖν ἐπορεύοντο, ἔλεγεν αὐταῖς κλαίουσα ἡ τοῦ Χριστοῦ δούλη. Ὑμεῖς ἀπό τοῦ νῦν ἀδελφαί μού ἐστε καί Κυρίαι καί ἐγώ μᾶλλον δουλεύσω ὑμᾶς τόν πάντα τῆς ζωῆς μου χρόνον· μόνον Κυρίαι μου ἀφῶμεν διά τόν Θεόν πάντα· μηδέν τῶν ἐπί γῆς ζητήσωμεν, ἀπόλλυται γάρ πάντα τά γήϊνα πράγματα, καί μόνον τάς ψυχάς ἡμῶν σώσωμεν. Φύγωμεν τάς ματαίας καί ἐπιβλαβεῖς τοῦ βίου τούτου φροντίδας· πεισθῶμεν τῷ Κυρίῳ εἰπόντι: ὅτι «εἴτις ἀφῆκε πατέρα ἤ μητέρα ἤ οἰκίαν (φ. 115 βον) ἤ ὑπάρχοντα ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καί ζωήν αἰώνιον κληρονομήσει». Ναί, ἀδελφαί μου ἠγαπημέναι, σώσωμεν ἡμῶν τάς ψυχάς. Καί ταῦτα αὐτῆς ὁμιλούσης πρός αὐτάς ἔρχονται παρά τήν θάλασσαν καί εὑρίσκουσι πλοιάριον μέλλον ἀποπλέειν· καί ἐμβᾶσαι εἰς αὐτό ἐπιτηδείου ἀνέμου ἐπιτυχοῦσαι, ἐντός ὀλίγων ἡμερῶν ἔφθασαν εἰς τήν Ἀλεξάνδρειαν. Κἀντεῦθεν πάλιν ἐξελθοῦσαι ἦλθον ἐν τῇ Κῴων νήσῳ· πανταχοῦ γάρ ἔφευγον τοῦ ἀγνώριστον τόπον καταλαβεῖν, πρός τό ἀναζητουμένας αὐτάς μή εὑρεθῆναι ὑπό τῶν γονέων. Ἀφόβως οὖν αὐτῶν (φ. 116αον) διαγουσῶν, μετήλλαξαν πάλιν τό σχῆμα εἰς τό γυναικεῖον, καί οἴκημα μισθωσάμεναι ἐν ἰδιάζοντι τόπῳ, ᾤκουν ἐν αὐτῷ τόν Θεόν παρακαλοῦσαι πέμψαι αὐτοῖς ἄνθρωπον τόν δυνάμενον αὐτῶν προνοήσασθαι. Παρήνεσεν οὖν ἡ ἁγία Αὕτη τάς ἑαυτῆς θεραπαινίδας λέγουσα. Παρακαλῶ ὑμᾶς διά τόν Κύριον ἀδελφαί μου, παραφυλαξώμεθα τοῦ ἀπαγγεῖλαί τινι τήν πατρίδα ἡμῶν, ἤ τόν σκοπόν ἡμῶν, δι᾽ ὅν ἐξήλθομεν, ἤ τό ὄνομά μου, ἵνα μή, ὡς εἰκός, καί διά τοῦ ὀνόματος καί τῆς πόλεως ἀναζητήσαντες οἱ γονεῖς

μου εὕρωσιν ἡμᾶς. Ὁρκίζω οὖν ὑμᾶς τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τοῦ φυλάξαι μέχρι τέλους τῆς ζωῆς Μου ταῦτα πάντα, καί μη-(φ. 116 βον)δενί ἐξειπεῖν τι τῶν γεγενημένων ἤ γενησομένων παρ᾽ ἡμῶν.

Ἀλλ᾽ εἴτις ἐπερωτᾷ ὑμᾶς τό ὄνομά μου, εἴπατε αὐτῷ, ὅτι Ξένη καλεῖται. Ταῦτα δέ αὐτῆς εἰπούσης, καί συνθεμένων αὐτῶν φυλάττειν καθ᾽ ἑαυτάς ταῦτα πάντα, θεῖσα τά γόνατα σύν αὐταῖς, ἤρξατο κλαίειν ἡ ἀμνάς τοῦ Θεοῦ καί λέγειν. «Ὁ Θεός ποίησον μεθ᾽ ἡμῶν ἔλεος τῶν ξένων καί ταπεινῶν καί ἀπεριστάτων τά ἐλέη σου καί τούς οἰκτιρμούς σου, καθώς ἐποίησας μετά τῶν Ἁγίων σου πάντων, καί κατάπεμψον ἡμῖν ἄνθρωπον τόν ἀρεστόν ἐνώπιόν σου Δέσποτα, παρ᾽ ᾧ δυνάμεθα καί ἡμεῖς αἱ ταπειναί σωθῆναι». Καί ταῦτα αὐτῆς προσευξαμένης, ἐξελθοῦσαι ἐκ τοῦ οἰκήμα-(φ. 117 αον)τος ἔνθα ᾤκουν, θεωροῦσι, καί ἰδού ὡς ἀπό τοῦ λιμένος ἤρχετο πρεσβύτης ἱεροπρεπής ἀσκητικόν ἔχων εἶδος, τό πρόσωπον δέ ὡς ἀγγέλου, ὅντινα ἰδοῦσα ἡ τοῦ Θεοῦ δούλη, δραμοῦσα προσέπεσε τοῖς ποσί τοῦ ἀνδρός κλαίουσα καί λέγουσα. Ἄνθρωπε τοῦ Θεοῦ, τήν Ξένην ἐπί ξένης μή παρίδῃς, μή ἀποστραφῇς τήν ἀπερίστατον· μή ἀποπέμψῃς τήν δέησιν ἐμοῦ τῆς ταπεινῆς καί ἁμαρτωλοῦ, ἀλλά μίμησαι τόν Ἀπόστολον Παῦλον, καί ὁδηγός ἡμῶν γενοῦ καί διδάσκαλος καθώς αὐτός τῆς ἁγίας Θέκλης ἐγένετο, μνήσθητι τῆς μελλούσης γενέσθαι τοῖς δικαίοις ἀνταποδόσεως τοῦ φιλανθρώπου καί ἐλεήμονος Θεοῦ, καί σῶσόν με ἅμα ταῖς δυσί ταύταις ἀδελφαῖς (φ. 117βον). Καί ταῦτα ἀκούσας ὁ ἱεροπρεπής τοῦ Θεοῦ δοῦλος, καί κινηθείς πρός δάκρυα λέγει Αὐτῇ. Τί θέλεις ἵνα ποιήσω ὑμῖν; ἡ δέ εἶπεν· ἵνα μετά Θεόν γενῇς ἡμῶν ὁδηγός πατήρ τε καί διδάσκαλος, καί ὁδηγήσῃς ἡμᾶς, ὅπου οἶδας, ὅτι σωζόμεθα, ὅτι ξέναι ἐσμέν καί οὐκ οἴδαμεν, ποῦ ἀπελθεῖν, διότι αἰσχυνόμεθα ἔμπροσθέν τινος. Ὁ δέ πρός αὐτάς ἔφη. Πόθεν ἐστέ, καί δι᾽ ἥν αἰτίαν πάρεστε ἐνταῦθα; Ἡ δέ ἁγία τοῦ Θεοῦ παρθένος ἔφη. Ξέναι ἐσμέν δοῦλαι τοῦ Θεοῦ καί γέγονεν ἡμῖν συμφωνία τοῦ ἐξελθεῖν ἐκ τῆς ἰδίας πόλεως καί ἐλθεῖν ἐν τοῖς τόποις τούτοις. Τόν Θεόν οὖν παρεκαλοῦμεν ἑκάστης ἡμέρας (φ. 118αον) πέμψαι ἡμῖν ἄνθρωπον, δι᾽ οὗ καί ἡμεῖς δυνησόμεθα σωθῆναι. Ἰδού οὖν ἔδειξεν ἡμῖν ὁ Θεός τήν σήν Ὁσιότητα, δυναμένην ἀντιλαβέσθαι τῆς ἀσθενείας ἡμῶν. Ὁ δέ πρός αὐτάς ἔφη. Πιστεύσατέ μοι ἀδελφαί, ὅτι κἀγώ ξένος εἰμί τῶν ἐνταῦθα, καί ἄρτι, ὡς βλέπετέ με, ἀπό τῶν ἁγίων τόπων παραγέγονα εὐξάμενος, καί ἀπέρχομαι πάλιν εἰς τήν πατρίδα μου· λέγει αὐτῷ ἡ τοῦ Θεοῦ δούλη· ποίων μερῶν τυγχάνει ἡ ὁσιότης σου, Κύριέ μου; ὁ δέ ἔφη· τῶν μερῶν εἰμι τῆς Καρίας, πόλις δέ μοι ἐπικαλουμένη Μύλασα. Λέγει αὐτῷ πάλι τοῦ Χριστοῦ νύμφη· δέομαι τῆς ὁσιότητός σου (φ. 118 βον). Καί τίς ἡ ἀξία, ἥνπερ ἔχετε; ὁρῶ γάρ ἔχοντά Σε πρόσχημα ἐπισκόπου· ἔφη αὐτῇ ὁ τοῦ Θεοῦ ἄνθρωπος· συγχώρησόν μοι, ἀδελφή, ἄνθρωπός εἰμι ἁμαρτωλός καί ἀνάξιος τοῦ μοναχικοῦ σχήματος τυγχάνω· διά δέ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ πρεσβύτερός εἰμι καί ἡγοῦμαι ὀλίγων ἀδελφῶν μοναστηρίου τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Ἀνδρέου, τό δέ ὄνομά μου Παῦλος καλοῦμαι. Ταῦτα ἡ τοῦ Χριστοῦ δούλη ἀκούσασα ηὐχαρίστησε τῷ Θεῷ λέγουσα. Δόξα σοι ὁ Θεός, ὅτι εἰσήκουσάς μου τῆς ταπεινῆς καί ἔπεμψας κἀμοί ὡς Θέκλῃ τόν Παῦλον, ἵνα με σώσῃς σύν ταῖς δυσί μου ταύταις ἀδελφαῖς. Λέγει οὖν αὐτῷ ἡ Παρθένος. Δέομαί σου δοῦλε (φ. 119 αον) τοῦ Θεοῦ, τάς ξένας τάς ἐρήμους μή παρίδῃς, ἀλλά μετά Θεόν γενοῦ ἡμῖν πατήρ. Λέγει αὐτῇ πάλιν ὁ ὅσιος τοῦ Θεοῦ δοῦλος· εἶπον ὑμῖν, ὅτι κἀγώ ξένος εἰμί, καί ὧδε

ὑμῖν τι ποιῆσαι οὐκ ἔχω, εἰ δέ ἔρχεσθε πρός τήν πόλιν μου, ἐλπίζω, ὅτι ποιεῖ μεθ᾽ ἡμῶν ὁ Θεός τό ἔλεος Αὐτοῦ· κἀγώ κατά τήν δύναμίν μου φροντίζω ὑμῶν. Τῶν δέ μετά δακρύων προσπεσουσῶν τοῖς ποσίν αὐτοῦ καί λεγουσῶν, ναί, δοῦλε τοῦ Θεοῦ, λάβε ἡμᾶς μετά Σοῦ, ἐρχόμεθα, ὅπου κελεύεις, μόνον ποίησον ἔλεος μετά τῆς ξενιτείας ἡμῶν, καί γενοῦ ἡμῶν ὁδηγός πρός τήν ζωήν. Λαβών οὖν αὐτάς μεθ᾽ ἑαυτοῦ ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἔρχεται ἐν τῇ Μυλασέων πόλει καί οἰκίσματα ἐν ἰδιάζοντι τόπῳ (φ. 119 βον) εὑροῦσαι, πλησίον ὄντα τῆς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας καί τοῦ καλουμένου ἱεροῦ. Ταῦτα ὠνησαμένη ἡ Παρθένος τοῦ Χριστοῦ, καί ποιήσασα ἐν αὐτοῖς ἐντευκτήριον τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος, ἐντός ὀλίγου χρόνου συνεστήσατο μοναστήριον Παρθένων, καί ἐφρόντιζεν αὐτῶν ὁ ὅσιος Παῦλος. Οὐδείς οὖν τό παράπαν ἔγνω ἐν τῇ ζωῇ αὐτῆς, ἤ τίς κέκληται, ἀλλά τό κύριον αὐτῆς ὄνομα πᾶσιν ἔλεγεν, ὅτι Ξένη καλοῦμαι. Τοῦ δέ κυρίου Παύλου λέγοντος, ὅτι ἐκ τῆς Κῴων πόλεως ἔλαβεν αὐτάς, ἐνομίζετο πᾶσιν ἐκεῖθεν αὐτάς εἶναι· ὅθεν (φ. 120αον) καί τό μοναστήριον αὐτῆς Κῴϊον ὠνόμαζον. Μετ᾽ οὐ πολύν δέ χρόνον τοῦ ἐπισκόπου Κυριακοῦ (ἐν ἑτέρῳ χειρογρ. βίῳ γράφεται Κυρίλλου) ἀναλύσαντος ἐν Κυρίῳ, πᾶσα ἡ πόλις ἐψηφίσαντο εἰς τόν τόπον αὐτοῦ τόν κύριον Παῦλον, καί χειροτονεῖται εἰς ἐπίσκοπον τῆς εἰρημένης πόλεως. Εἰσελθών οὖν ἐν τῷ ᾽Ασκητηρίῳ τῶν Παρθένων ὁ κύριος Παῦλος, πείθει τήν κυρίαν Ξένην καί χειροτονεῖ αὐτήν διάκονον. Αὕτη τοίνυν ἡ ὄντως ἐν σώματι τόν ἀγγελικόν βίον ζήσασα, τοσοῦτον ἑαυτήν εἰς τόν τῆς ἀσκήσεως ἐξέδωκε τρόπον, καίπερ ἀπό ἁβροτάτου καί τρυφηλοῦ βίου τυγχάνουσα, ὡς ξένην καί καινήν παρά πάντα (ἴσ. πάντας) τήν μοναχικήν ἀναβαίνειν αὐτήν ὁδόν. ῾Ως (φ. 120 βον) ἐκ τῆς ἄγαν αὐτῆς ἐγκρατείας καί αὐτούς τούς δαίμονας φρίξαντας αὐτῆς τό αὐστηρόν τῆς ἀσκήσεως ὑποχωρῆσαι· καί μήτε προσεγγίσαι αὐτήν τολμᾶν· ἤσθιε γάρ διά δύο ἤ τριῶν ἡμερῶν· ἔστι δέ ὅτε καί τήν ἑβδομάδα ἄσιτος διεκαρτέρει· ἐρχομένη δέ ἐπί τροφήν, οὐ λαχάνου ἐγεύετο, οὐκ ὀσπραίου, οὐκ οἴνου, οὐκ ἐλαίου, οὐκ ὀπώρας τινός, οὔτε πᾶν ὅ διά πυρός εἶχε τήν χρῆσιν, εἰμή μόνον βραχύ τι ἄρτου, καί τοῦτον βρέχουσα τοῖς οἰκείοις δάκρυσι τήν ἐναπομένουσαν σποδιάν ἐν τῷ θυμιατηρίῳ, ταύτην συμμάσσουσα μετά τοῦ ἄρτου οὕτως ἤσθιεν· καί τοῦτο ἐπί πάντα τόν τῆς ζωῆς αὐτῆς ἐποιεῖτο (φ. 121αον) χρόνον, τό προφητικόν ἐκεῖνο πληροῦσα λόγιον τό «῞Οτι σποδόν ὡσεί ἄρτον ἔφαγον καί τό πόμα μου μετά κλαυθμοῦ ἐκίρνων». Πᾶσαν δέ ἐσπούδαζε τήν ἀδελφότητα λανθάνειν τήν πολιτείαν αὐτῆς· μόναι δέ αἱ δύο αὐτῆς παιδίσκαι παρετηροῦντο κρυπτῶς, τό τί διαπράττεται, ζηλοῦσαι καί αὗται τήν καλλίστην αὐτῆς πολιτείαν. Τῇ ὑπερβολῇ τοίνυν τῆς ἐγκρατείας, τοσαύτη ἦν ἀγρυπνία ἐν αὐτῇ, ὡς ἀπό ἑσπέρας μέχρι τῆς ὥρας τῶν εὐχῶν, ἐν ᾗ αἱ ἀδελφαί ἐν τῷ εὐκτηρίῳ συνήγοντο, ἱστάναι διά πάσης τῆς νυκτός ἐκτετακυῖα τάς χεῖρας εἰς τόν οὐρανόν προσεύχεσθαι· (φ. 121 βον) καί οὕτως ἐφ᾽ ἑκάστης κατελαμβάνετο ὑπό τῶν ἀδελφῶν πασῶν. ῎Αλλοτε πάλιν τιθεῖσα τά γόνατα αὐτῆς ἀπό ἑσπέρας ἕως πρωΐ διεκαρτέρει πᾶσαν τήν νύκτα κειμένη κλαίουσα καί προσευχομένη. Καί ταῦτα οὕτως ποιοῦσα τοσαύτῃ ταπεινοφροσύνῃ συνέζη, ἁπασῶν ὑποκάτω ἑαυτήν λογίζεσθαι εἶναι. Τίς ἄν ἐπέλθοι τάς ἄλλας αὐτῆς ἀρετάς; ποῖος δέ λόγος ἀρκέσει ἡμῖν εἰς τά ταύτης κατορθώματα; τί γάρ εἴπωμεν αὐτῆς; τό ἀόργητον; οὐδέ γάρ εἶδέ ποτέ τις ὀργιζομένην· ἀλλά τόν ἀκενόδοξον βίον; τό ἀσχημάτιστον εἶδος;

τήν ἀκαλλώπιστον ὄψιν; τήν ἀτάραχον καρδίαν; ποῖον γάρ κατόρθωμα (φ. 112αον) οὐκ ἦν ἐν αὐτῇ; διηνεκής ἀγρυπνία, ἄμετρος ἀγάπη, ὑπερβολή ἐγκρατείας, πάντων τῶν ταπεινῶν ἐγκαλλώπισμα, ἁμαρτωλοῖς συμπαθοῦσα, πεπλανημένους ὁδηγοῦσα· περί δέ ἐνδυμάτων περιττόν ἐστι καί λέγειν, τῶν γάρ πάντων ῥακοδυτούντων ἀνάξια ἦν τά τῆς συμπαθεστάτης ταύτης σκεπάσματα, καί πᾶς ὁ ταύτης βίος ἐν κατανύξει χαρᾶς καί συνεχεῖ δακρύων πηγῇ ὑπάρχει. Καί ἦν ἰδεῖν πηγήν μᾶλλον ἐν καιρῷ καύσωνος ἀπολείπουσαν τό ἑαυτῆς ὕδωρ, ἤ τούς ἀμετεωρίστους αὐτῆς καί εἰς τόν Χριστόν ὁρῶντας ὀφθαλμούς (φ. 122 βον) διαλείπειν δακρύων ποτέ.

Αὕτη τοίνυν ἡ ἀείμνηστος τόν τόνδε μέλλουσα ἀπολιμπάνειν βίον καί τῆς μνήμης οὔσης τοῦ ἁγίου 'Εφραίου (ἐν τῷ ἄλλῳ χειρογρ. βίῳ γράφεται 'Εφραίμ) ἐπισκόπου γενομένου τῆς εἰρημένης τῶν Μυλάσων πόλεως, καί τοῦ ὁσίου Παύλου ὄντος ἐν τῇ Λευκῇ κώμῃ σύν πάσῃ σχεδόν τῇ πόλει, ἔνθα καί ἀπόκειται ὁ ἅγιος 'Εφραῖος, προσκαλεσαμένη πάσας τάς ἀδελφάς ἐν τῷ εὐκτηρίῳ τοῦ ἀσκητηρίου ἤρξατο λέγειν αὐταῖς. Κυρίαι μου καί ἀδελφαί, οἶδα ἐγώ, ἥνπερ ἐποιήσατε φιλανθρωπίαν μετ' ἐμοῦ, καί τό ὅπως ἀντελάβεσθέ μου ἅμα τῇ ἀσθενείᾳ μου (φ. 123αον) καί τήν ξενιτείαν μου ἐσκεπάσατε· καί τανῦν δέομαι ὑμῶν· ἐπεκτείνατε τήν ἀγάπην ὑμῶν ἐν ἐμοί, τῇ δούλῃ ὑμῶν, καί μέμνησθέ μου τῆς ἁμαρτωλοῦ καί ξένης ἐν ταῖς πρός Κύριον ἡμῶν ἀναπεμπομέναις ἱκετηρίαις, ἵνα μή ἐμποδίσωσί με αἱ ἁμαρτίαι μου· ἀλλά διά τῶν προσευχῶν ὑμῶν ἀκωλύτως ἀξιωθῶ προσελθεῖν τῷ βήματι τοῦ Χριστοῦ· ὡς ὁρῶ γάρ τό ἐμοῦ τέλος καί ὀδύνη ἔχει τήν ψυχήν μου καί λύπη πολλή, ὅτι ἀσύντακτος ἐξέρχομαι ἀπό τοῦ σώματος, μή παρόντος τοῦ ὁσίου 'Επισκόπου καί πατρός ἡμῶν Παύλου (φ. 123 βον), ἀλλ' οὕτως ἐλεήθητε, τόν ἐμόν ἀναπληρώσατε τόπον, καί ἐλθόντι αὐτῷ εἴπατε, ὅτι εἶπεν ἡ ταπεινή Ξένη· «διά τόν Θεόν τῆς ξενιτείας μου Πάτερ μνήσθητι, ὅτι σύ ὡδήγησας καί ἤγαγες ἡμᾶς εἰς τήν ζωήν ταύτην, καί εὖξαι ὑπέρ ἐμοῦ, ἵνα μή καταισχύνῃ μέ ὁ Κύριος ἀπό τῆς προσδοκίας μου». Καί ταῦτα αὐτῆς λεγούσης ἤρξαντο κλαίειν καί λέγειν πρός αὐτήν. Δέσποινα ἡμῶν καί ὁδηγέ τῶν ψυχῶν ἡμῶν, ἐᾶσαι ἡμᾶς βούλει ὀρφανάς καί ἀπεριστάτους; ἵνα τίς ἡμᾶς ὁδηγήσῃ εἰς τήν ζωήν; ἵνα τίς ὑπερεύξηται τῆς ῥᾳθυμίας ἡμῶν; μή Δέσποινα ἡμῶν ἐν τοιούτῳ καιρῷ μή ἐγκαταλίπῃς ἡμᾶς· μνήσθητι, ὅτι αὐτή ἡμᾶς συνήγαγες εἰς τήν μάνδραν Σου ταύτην, φρόντισον τῶν ψυχῶν ἡμῶν Δέσποινα, καί παρακάλεσον τόν Θεόν τοῦ δοθῆναί Σοι ἔτι μικρόν χρόνον, ἕνεκεν ἡμῶν τῶν ταπεινῶν, ἵνα καί ἡμᾶς ὁδηγήσῃς εἰς τήν ζωήν. Ἤρξαντο οὖν καί αἱ δύο αὐτῆς παραμονάριαι, ἤγουν παιδίσκαι, κυλίεσθαι εἰς τούς πόδας αὐτῆς, κλαίουσαι καί αὐταί πικρῶς καί λέγουσαι· ἐᾷς ἡμᾶς, Δέσποινα ἡμῶν; καί ἀπέρχῃ ἐκτός ἡμῶν; ἵνα τί διαπραξώμεθα αἱ ξέναι ἐπί ξένης; οὐαί ἡμῖν (φ. 124 βον), ὅτι ἠμελήσαμεν ἑαυτῶν καί διά τοῦτο μόνας ἡμᾶς καταλιπεῖν βούλεται ἡ κυρία ἡμῶν· μνήσθητι τῆς ξενιτείας ἡμῶν, ἧς ἐκοινωνήσαμέν σοι, μνήσθητι, ὅτι ἅπαντα σοῦ ὑπηκούσαμεν· μνήσθητι ἡμῶν καί δεήθητι ὑπέρ ἡμῶν τοῦ Θεοῦ συμπαραλαβεῖν καί ἡμᾶς, ἵνα μή χωρισθῶμεν ἀπό σοῦ. Πολλοῦ οὖν κλαυθμοῦ καί ταραχῆς γενομένης, ἤρξατο καί αὐτή ἡ κυρία Ξένη κλαίειν καί λέγειν. «Οἴδατε ἀδελφαί μου πρό πόσων χρόνων κράζει ὁ 'Απόστολος Πέτρος ὅτι: «Οὐ βραδύνει Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδύτητα ἡγοῦνται, ἀλλά μακροθυμεῖ εἰς ἡμᾶς μή βουλόμενός τινα ἀπολέσθαι, ἀλλά πάντας εἰς μετά-

νοιαν (φ. 125αον) χωρῆσαι· ἥξει δέ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης». Γιγνώσκουσαι οὖν ἀδελφαί μου ταῦτα μή ἀμελήσωμεν ἑαυτῶν ἐν τῷ μικρῷ χρόνῳ τούτῳ, ἀλλά γρηγορήσωμεν, ἀνάψωμεν τάς λαμπάδας ἑαυτῶν, ἑτοιμάσωμεν ἑαυτάς εἰς ἀπάντησιν τοῦ νυμφίου, διότι οὐκ οἴδαμεν ποίᾳ ὥρᾳ μέλλει φωνεῖν ἡμᾶς ὁ Κύριος ἡμῶν. Ἰδού γάρ ὁ ἀμητός παρέστηκεν, καί οἱ ἐργάται εὐτρεπεῖς, καί μόνον τοῦ Δεσπότου τό νεῦμα ἐκδέχονται». Καί ταῦτα Αὐτῆς λεγούσης πασῶν κλαιουσῶν, καί εἰς τούς πόδας αὐτῆς κειμένων, τάς χεῖρας αὐτῆς εἰς τόν οὐρανόν ἀνατείνασα, μετά πολλῶν δακρύων, προσηύξατο λέγουσα (φ. 125 βον). «Ὁ Θεός ὁ μέχρι τῆς σήμερον σκεπάσας μου τήν ξενιτείαν, ἐπάκουσόν μου τῆς ταπεινῆς καί ἁμαρτωλοῦ δούλης Σου, καί μνήσθητι πασῶν τῶν δούλων Σου, τῶν ἀδελφῶν μου τούτων, καί φύλαξον αὐτάς, καί σκέπασον ἀπό πάσης ἐπιβολῆς τοῦ ἀλλοτρίου εἰς δόξαν καί ἔπαινον τοῦ Χριστοῦ σου, δέομαί σου ὁ Θεός μου, μνήσθητι καί τῶν δύο τούτων μου ἀδελφῶν τῶν συνξενιτευσασῶν μοι διά τό ὄνομά Σου τό ἅγιον, καί ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ οὐκ ἐχωρίσθησάν μου, μηδέ ἐν τῇ βασιλείᾳ Σου χωρίσῃς ἡμᾶς ἀπό τοῦ νυμφῶνός Σου» (φ. 126). Καί ταῦτα Αὐτῆς εὐξαμένης, παρεκάλεσε πάσας ἐνδοῦναι αὐτῇ μικρόν. Πασῶν δέ ἐξελθουσῶν, ἀποκλείσασα ἑαυτήν ἐν τῷ εὐκτηρίῳ, αἱ δύο Αὐτῆς παραμονάριαι καί μόναι ἔξωθεν τῶν θυρῶν παρετήρουν, καί θεωροῦσι θήσασαν τά γόνατα αὐτῆς καί προσευχομένην· ἐπί πολλάς δέ ὥρας κειμένης αὐτῆς, ἄφνω φῶς ἔλαμψεν ἐν τῷ εὐκτηρίῳ ὡς ἀστραπῆς εἶδος, καί πλῆθος εὐωδίας ἀνῆλθεν ἐκ τοῦ οἴκου· αἵτινες εὐθέως εἰσελθοῦσαι εὗρον ἀναπεπαυμένην ἡμέρᾳ Σαββάτῳ ὥρᾳ ἕκτῃ. Ἐξελθοῦσαι οὖν αἱ δύο αὗται κλαίουσαι, ἐφώνουν τάς ἀδελφάς (φ. 126 βον) λέγουσαι. Μητέρες ἡμῶν καί ἀδελφαί, δεῦτε θρηνήσωμεν τήν κοινήν ἡμῶν ὀρφανίαν, δεῦτε κοψώμεθα τό τῆς κοινῆς ἡμῶν ἀδελφότητος τεῖχος, ἐγυμνώθημεν τῆς σεμνοπρεποῦς μητρός, ἀπῆλθεν ἡμῶν ἡ σύζυγος καί μεμονώμεθα· Ξένη γάρ ἡ ἁγία Μήτηρ ἡμῶν κεκοίμηται. Πασῶν δέ συνελθουσῶν ἐν τῷ εὐκτηρίῳ, καί εὑρουσῶν αὐτήν ἀναπεπαυμένην, ἐγένετο κλαυθμός καί ὀδυρμός μέγας. Ὁ δέ φιλάνθρωπος Θεός δεῖξαι βουλόμενος πᾶσιν, οἷος ἐπί τῆς γῆς ἐκρύπτετο θησαυρός, μέγιστον σημεῖον ἐν τῷ οὐρανῷ ἐφανέρωσε· μετά γάρ τό παραδοῦναι τοῦ Θεοῦ τήν Παρθένον τό πνεῦμα, μεσούσης ἡμέρας καί αἰθρίας οὔσης, ἐφάνη ἐν τῷ οὐρανῷ στέφανος δι᾽ ἀστέρων ἔχων ἐν τῷ μέσῳ σταυρόν, καί πᾶσιν ὡρᾶτο τό σημεῖον τοῦτο. Πάντων οὖν τῶν πολιτῶν καί τοῦ ὁσίου ἐπισκόπου Παύλου ἔτι ἐν τῇ Λευκῇ κώμῃ ὄντος, καί τοῦ σημείου τούτου ἐν τῷ οὐρανῷ καί θαυμαζόντων καί ἀπορούντων, τό τί ἄν εἴη, γνούς τῷ πνεύματι ὁ ὅσιος ἐπίσκοπος Παῦλος ἐπί παντός πλήθους εἶπεν. Ἡ κυρία Ξένη ἐκοιμήθη καί αὐτῆς ἐστι τοῦτο τό σημεῖον τοῦ στεφάνου. Καί εὐθέως ἐξῆλθεν πληρώσας τήν λειτουργίαν, καί ἐπηκολούθησαν αὐτῷ, πᾶς ὁ ὄχλος ὁ ἐν τῇ ἑορτῇ. Ἀνελθόντες οὖν ἐν τῇ πόλει, εὗρον, ὡς εἶπεν αὐτοῖς τήν Κυρίαν Ξένην ἀναπεπαυμένην. Συνέδραμε δέ πλῆθος πολύ σφόδρα ἀνδρῶν τε καί γυναικῶν ἐν τῷ μοναστηρίῳ, καί διά τό σημεῖον τό φαινόμενον ἐν τῷ οὐρανῷ ἔκραζον καί ἔλεγον. Δόξα σοι Ἰησοῦ Χριστέ, ὅτι πλῆθος ἔχεις ἁγίων κρυπτῶς εὐαρεστούντων σοι. Δόξα σοι ὁ Θεός ὁ σαρκωθείς καί σταυρωθείς δι᾽ ἡμᾶς τούς ἁμαρτωλούς, ὅτι ἐφανέρωσας πᾶσιν, οἷον εἶχες θησαυρόν κρυπτόμενον ἐνταῦθα (13η). Δόξα σοι ὁ Θεός, ὅτι καί τήν ταπεινήν τῶν Μυλασέων πόλιν τοιούτου κειμηλίου γυναικός ἠξίωσας. Καί πάντων δοξαζόντων τόν Θεόν, καί τοῦ σταυροῦ

ἐν τῷ κύκλῳ δηλουμένου πᾶσιν ἐν τῷ οὐρανῷ, ὁ φιλόχριστος τῆς πόλεως λαός ζήλῳ θεοσεβείας ἐπαρθείς, ἐξαιρέτως δέ τῶν γυναικῶν τά πλήθη προσελθόντα τῷ ἐπισκόπῳ ἐβόων μετά φωνῆς μεγάλης λέγοντα: Μή κρύψῃς τῆς πόλεως ἡμῶν τήν δόξαν, Ὅσιε, τοῦ σιγηθῆναι τόν ἔπαινον ἡμῶν. Μή κρύψῃς τόν μαργαρίτην τόν ὑπό τοῦ Θεοῦ φανερωθέντα ἡμῖν· δημοσίευσον τόν λύχνον. Ἴδωσι πάντες ποίου δεσπότου τυγχάνωμεν δοῦλοι· ἴδωσιν Ἕλληνες τό μυστήριον καί ἐντραπήτωσαν, ἴδωσιν Ἰουδαῖοι τό σημεῖον τοῦ σταυροῦ, καί γνώτωσαν, ὅτι ὁ σταυρωθείς παρ' αὐτῶν, Θεός ἐστιν. Ἴδωσι πάντες καί κόψονται οἱ ἐχθραίνοντες καί ἐξουδενοῦντες τό σημεῖον τοῦ Σταυροῦ· ἴδωσι πάντες τήν Ξένην, τήν ἄγνωστον, τήν αἰχμάλωτον παρά ἀνθρώποις νομισθεῖσαν, ποίας παρά Θεοῦ ἠξίωται δόξης, ἴδωσι πάντες τήν πόλιν ἡμῶν, οἵας δωρεᾶς καί χάριτος ἠξίωται· καί ταῦτα καί πλείονα τούτων τοῦ πλήθους ἐκβοῶντος, προσελθών τῇ κλίνῃ ὁ ὅσιος ἐπίσκοπος ὑπέθηκεν ἑαυτοῦ τόν αὐχένα, ὁμοίως δέ καί οἱ πρεσβύτεροι βαστάσαντες τήν κλίνην, πλήθη τε κηρῶν ἅψαντες, οὕτω τόν Θεόν δοξάζοντες ἤγαγον τό λείψανον καί ἔθηκαν σύν τῇ κλίνῃ ἐν τῇ πλατείᾳ τῆς πόλεως· καί ἐθεώρει πᾶν τό πλῆθος, ὅτι περιπατοῦντος τοῦ κραββάτου, ἐφαίνετο κατεπάνω τῆς κλίνης ἐπακολουθῶν ὁ στέφανος καί ὁ σύν αὐτῷ Σταυρός φαινόμενος ἐν τῷ οὐρανῷ· καί πάλιν ἡνίκα ἀπέθεντο τήν κλίνην ἔστηκεν ὁ στέφανος σύν τῷ σταυρῷ κατεπάνω φαινόμενος τῆς κλίνης· συνήχθησαν δέ πλήθη πολλά καί ἄπειρα ἐκ τῆς περιχώρου διά τό παράδοξον τοῦ θαύματος, ὡς πᾶσαν τήν πόλιν πληρωθῆναι τοῦ ὄχλου. Πᾶσαν οὖν τήν νύκτα τῆς ἁγίας Κυριακῆς ἔμειναν πάντες σύν τῷ Ἐπισκόπῳ ἐκεῖ διανυκτερεύοντες. Πολλαί δέ ἰάσεις καί θεραπεῖαι ἐγένοντο. Πᾶς γάρ ὅστις ἐν νόσῳ μακρᾷ ἤ πάθει ἀνιάτῳ ἐκεκράτητο, προσελθών καί ἁψάμενος τῆς κλίνης, εὐθέως ἀπηλλάσσετο τῆς ἐπικειμένης αὐτῷ νόσου. Παρελθούσης οὖν τῆς νυκτός, περί ὥραν τρίτην τῆς νυκτός Κυριακῆς, ἐκήδευσαν τό ἅγιον σῶμα τῆς ὁσίας Ξένης, καί ἤγαγον ψάλλοντες εἰς τόν καλούμενον Σικίνιον τόπον, ὅς ἐστιν εἰς τήν εἴσοδον τῆς πόλεως πρός νότον, ἔνθα καί ὥρκισεν ἡ ἁγία τεθῆναι αὐτῆς τό λείψανον. Ἐθεώρει οὖν πᾶς ὁ ὄχλος, ὅτι τοῦ σώματος Αὐτῆς βασταζομένου καί περιπατοῦντος τοῦ κραββάτου, ἐκινεῖτο καί ὁ κύκλος σύν τῷ σταυρῷ ὁ φαινόμενος ἐν τῷ οὐρανῷ καί πάλιν ἡνίκα ἀπετέθη ἡ κλίνη εἱστήκει καί αὐτός· προσῆλθον οὖν πάντες, ὅσοι ἴσχυσαν ἐκ τοῦ ὄχλου πίστει πολλῇ καί τά ἐπικείμενα τῷ λειψάνῳ σινδόνια διεμερίσαντο κατά βραχύ, εἰς ἰατρείαν παντοίου νοσήματος. Μυρίσας οὖν τό σῶμα ὁ Ἐπίσκοπος σύν τῷ τιμίῳ Αὐτοῦ κλήρῳ ἀπέθεντο ἐν τῷ αὐτῷ τόπῳ ἐν μνημείῳ καινῷ, καί εὐθέως ἀπεκρύβη καί ὁ φαινόμενος ἐν τῷ οὐρανῷ στέφανος σύν τῷ Σταυρῷ. Πολλαί οὖν καί μέχρι τοῦ νῦν γίνονται ἰάσεις ἐν τῷ τόπῳ, ἔνθα κατάκειται τό λείψανον τῆς ὁσίας Ξένης τοῖς μετά πίστεως προσερχομένοις. Οὐ μετά πολύ δέ καί ἡ μία αὐτῆς παραμοναρία ἀνεπαύθη, καί μετ' ὀλίγον εὐθέως καί ἡ ἄλλη, καί ἔθαψαν καί αὐτάς ὑπό τούς πόδας αὐτῆς. Μελλούσης οὖν ἀναπαύεσθαι τῆς τελευταίας ἀδελφῆς, προσῆλθον πᾶσαι αἱ παρθένοι ὁρκίζουσαι αὐτήν φανερῶσαι αὐταῖς ἅπαντα τά κατά τήν κυρίαν Ξένην. Θεωροῦσα οὖν ἑαυτήν πρός τέλος ἔχουσαν, ἅπαντα αὐταῖς ἐξεῖπε κατά ἀκρίβειαν, καί τό πόθεν γέγονεν, καί ἐκ ποίων γονέων ἐπιδόξων, καί δι' ἥν αἰτίαν, καί τό ὅπως ἔφυγον (15η) τήν πατρίδα αὐτῶν, καί ὅτι ἔκρυβεν ἑαυτῆς διά τόν Θεόν τό ὄνομα, ἐπεί ἐν τῇ ζωῇ ἀμφοτέρων οὐδείς τοῦτο ἔγνω· ἔλεγε δέ ὅτι ἑαυτήν

ὠνόμασε Ξένην, ἐπεί ἐν τῇ πόλει αὐτῆς Εὐσεβία ἐκέκλητο. Αὕτη ἡ πολιτεία τῆς τοῦ κόσμου καί οὐρανοπολίτιδος, τῆς μετά σαρκός ἰσαγγέλου. Ἐν Θεῷ ἀγάλλεται, τήν πόλιν διαφυλάττει, οὐδέ γάρ ὁ θάνατος τήν δύναμιν ἐνέκρωσεν, οὐδέ τόπος τήν εὐεργεσίαν ἐμάρανεν· ἐξεδύσατο τό σῶμα ὡς ἱμάτιον, ἐνέκρωσε τόν διάβολον ὡς ὄφιν, ἐλογίσατο τόν κόσμον καί τά τοῦ κόσμου ἅπαντα εἰς οὐδέν, ἐφύλαξεν ὡς θησαυρόν τήν παρθενίαν, ἀνεδήσατο τήν πίστιν ὡς στέφανον, ἀπεγράψατο τόν κόσμον διά τόν Χριστόν. Τοῦ δέ ὁσίου Παύλου ἔτι μικρόν ἐπιβιώσαντος χρόνον μετά τήν κοίμησιν τῆς Κυρίας Ξένης τῆς ἁγίας καί ὁσίως τόν βίον ἀσκησάσης, καί ἀμέμπτως καί ὁσίως ποιμάναντος τό ἐμπιστευθέν αὐτῷ ὑπό τοῦ Θεοῦ ποίμνιον, ἐπί πλεῖον ἔτι προέκοψε τῇ χάριτι, ὥστε διά τῶν προσευχῶν αὐτοῦ δαίμονας ἀπελαύνειν καί ἰάσεις ἐπιτελεῖσθαι. Παραθέμενος οὖν τῷ Θεῷ τό λογικόν αὐτοῦ ποίμνιον, ἀνέλυσε καί αὐτός ἐν Κυρίῳ καί ἀπέθεντο τό ἅγιον αὐτοῦ λείψανον ἐν αὐτῇ τῇ πόλει ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου καί ἐνδόξου Ἀποστόλου Ἀνδρέου· καί νῦν εἰσιν ἀμφότεροι ἀγαλλιώμενοι ἐν Κυρίῳ· μεθ' ὧν δῴη καί ἡμᾶς ὁ Κύριος ἔλεος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος Κριτής, μετά πάντων τῶν ἠγαπηκότων τήν ἐπιφάνειαν Αὐτοῦ. Αὐτῷ ἡ δόξα καί τό κράτος σύν τῷ ἀθανάτῳ Πατρί καί τῷ ζωοποιῷ Αὐτοῦ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντεγράφη ἐκ χειρογράφου τοῦ ιγ΄ου αἰῶνος Κώδικος τῆς ἱερᾶς Μ. Μ. Λαύρας τοῦ ἁγίου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ· ἐκ τῆς βιβλιοθήκης ὑπ' ἀρ. 139. Β. 19. ἡ δέ κατάταξις τοῦ βίου ἐν τῷ Κώδικι, ὑπ' αὔξ. ἀρ. τῶν περιεχομένων, Δ΄ ἐκ φ. 20 ἐκ σελ. 2 ἕκαστον· ὁ Κῶδιξ ἄνευ ἀρχῆς καί ἄνευ τέλους.

Ὁ ἀντιγράψας Ἱερώνυμος Μ. Σιμωνοπετρίτης, μηνί Αὐγούστῳ 2, ἔτει σωτηρίῳ 1905.

## ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

# ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
# ΙΕΡΟΣ ΝΑΟΣ ΟΣΙΑΣ ΞΕΝΗΣ
# ΘΕΣΣΑΛΟΝΙΚΗΣ

# ΠΑΛΑΙΑ ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΞΕΝΗΣ,
# ΑΓΝΩΣΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ,

# ΠΡΟΕΡΧΟΜΕΝΗ
# ΑΠΟ ΤΗΝ ΣΗΛΥΒΡΙΑΝ
# ΤΗΣ ΑΝΑΤΟΛΙΚΗΣ ΘΡΑΚΗΣ

ΕΠΙΜΕΛΕΙΑ:
ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΥ
ΔΗΜΗΤΡΙΟΥ ΑΓ. ΚΑΤΑΒΕΛΟΥ

ΘΕΣΣΑΛΟΝΙΚΗ 1995

*Τό δεύτερον μέρος τῆς παλαιᾶς Ἱερᾶς Ἀκολουθίας τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, τό ὁποῖον καί ἀκολουθεῖ περιέχει :*

- *Τόν Πρόλογον τοῦ Ἱερατικῶς Προϊσταμένου καί Προέδρου τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης Χαριλάου, Πρωτοπρεσβυτέρου π. Δημητρίου Ἀγ. Καταβέλου, μέ τήν καταγραφήν τῶν τελεσθέντων ἐν τοῖς Ἱεροῖς Ναοῖς ἔργων, καί τήν ἀναφοράν εἰς τούς ἐγγύς συνεργάτας.*
- *Τήν φωτογραφίαν τῆς Ἱερᾶς Εἰκόνος τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, φιλοτεχνηθείσης τό ἔτος 1945, καί εὑρισκομένης ἐπί τοῦ ξυλογλύπτου Τέμπλου τοῦ παλαιοῦ Ἱεροῦ Ναοῦ, ἐπί τῆς ὁδοῦ Παπαναστασίου, τό ὁποῖον τέμπλον κατεσκευάσθη τό ἔτος 1993 δαπάναις εὐσεβῶν Χριστιανῶν τῆς ἐνορίας, ἀνερχομέναις εἰς τό ποσόν τῶν 5.800.000 δραχμῶν.*
- *Τήν φωτογραφίαν τῆς ἐξωτερικῆς ὄψεως τοῦ παλαιοῦ Ἱεροῦ Ναοῦ τῆς Ὁσίας Ξένης, ἐπί τῆς ὁδοῦ Παπαναστασίου, ὅστις καί ἐξωραίσθη προσφοραῖς τῶν εὐσεβῶν χριστιανῶν τῆς περιοχῆς Χαριλάου Θεσσαλονίκης, ἀνερχομέναις εἰς ποσόν ἑκατοντάδων χιλιάδων δραχμῶν.*
- *Τήν φωτογραφίαν τῆς ἐξωτερικῆς ὄψεως τοῦ νέου Ἱεροῦ Ναοῦ τῆς Ὁσίας Ξένης, ἐπί τῆς ὁδοῦ Μαρασλῆ, εἰς ἥν καί ἐμφαίνονται αἱ πολλαπλαῖ ἐξωραϊστικαί καί τεχνικαί βελτιώσεις αἱ ὁποῖαι καί ἐπετελέσθησαν, ὡς ἐπίσης καί τό ἐνοριακόν πνευματικόν κέντρον τοῦ Ἱεροῦ ναοῦ, τό ὁποῖον ᾠκοδομήθη μέν τό ἔτος 1985, ἐβελτιώθη δέ ἐν συνεχείᾳ ἡ λειτουργικότης του, διά πρώτης εὐγενοῦς δωρεᾶς τῆς ἤδη ἀποβιωσάσης Χαρικλείας Ἀναχωρλῆ, ἀνερχομένης εἰς τό ποσόν τοῦ 1.600.000 δραχμῶν, τό ὁποῖον καί προῆλθεν ἐκ τῆς ἐκποιήσεως οἰκίας τῆς ἐν λόγῳ δωρητρίας, δωρηθείσης διά διαθήκης πρός τόν Ἱερόν Ναόν τό ἔτος 1985. Ἄς εἶναι αἰωνία ἡ μνήμη της !*
- *Πρόεδρος τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου καί Ἱερατικῶς Προϊστάμενος τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης, ἀπό τό 1979 ἕως καί σήμερον, Πρωτοπρεσβύτερος Δημήτριος Καταβέλος.*

- *Ἐκκλησιαστικοί Σύμβουλοι - Ἐπίτροποι :*

1. *Ἰωακείμ Ἰωακειμίδης*
2. *Δημήτριος Σεβαστᾶς*
3. *Ἀθανάσιος Ντάλντας*
4. *Νικόλαος Τσιάρας*
5. *Παῦλος Τσαπώνης*
6. *Εὐάγγελος Φαντόπουλος*
7. *Εὐάγγελος Τσουκπτάκος*
8. *Ἰωάννης Πούσιος*
9. *Κωνσταντῖνος Τζαβαλιᾶς*
10. *Ἰωάννης Ἰωαννίδης*
11. *Διαμαντῆς Χρήστου*

- *Ἐντεταλμέναι Κυρίαι :*

1. *Ἀριστονίκη Ντάλντα*
2. *Εἰρήνη Κωστοπούλου*
3. *Μαρία Μαυρουδίδου*
4. *Τριανταφυλλιά Πιλπιλίδου*
5. *Φαίδρα Καρούση*
6. *Αἰκατερίνα Ἀσβεστᾶ*
7. *Ἀθανασία Πούσιου*

*Πρωτ/ρος Δημήτριος Καταβέλος.-*

*Ἐν Θεσσαλονίκῃ τῇ 4.3.1995.-*

*Ἐν Θεσσαλονίκῃ τῇ 4.3.1995.-*

*Ἀγαπητοί μου ἀδελφοί, Ἅγιοι Πατέρες καί λαέ τοῦ Θεοῦ περιούσιε καί ἠγαπημένε !*

*Δράττομαι σήμερον τῆς εὐκαιρίας ἵνα ἐπανεκδόσω τήν Ἱεράν Ἀκολουθίαν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, ἡ ὁποία ἐνεκρίθη ὑπό τῆς Ἁγίας καί Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, τῇ προτάσει καί εὐλογίᾳ τοῦ Παναγιωτάτου Μητροπολίτου Θεσσαλονίκης Κυρίου Κυρίου ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ τοῦ Β΄, καί ἡ ὁποία ἐξεπονήθη ὑπό τοῦ Μακαριστοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Μεγάλου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως.*

*Ὅμως εὑρίσκομαι καί εἰς τήν εὐχάριστον θέσιν ἵνα γνωρίσω πρός Ὑμᾶς καί πρός τόν λαόν τοῦ Θεοῦ, ὅτι ὁμοῦ μετά τῆς ὡς ἄνω Ἱερᾶς Ἀκολουθίας, τοῦ Παρακλητικοῦ Κανόνος καί τῶν Χαιρετισμῶν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης συνεκδίδεται καί ἀρχαία τις Ἱερά Ἀκολουθία ὁμοῦ μεθ' ἑτέρων Χαιρετισμῶν τῆς Ὁσίας Ξένης, ἥτις καί ἐποιήθη ὑπό ἀγνώστων εἰς ἡμᾶς, γνωστῶν ὅμως εἰς τόν Θεόν ποιητῶν, καί ἥτις ἐψάλλετο εἰς τήν πόλιν τῶν Μυλάσσων τῆς Μικρᾶς Ἀσίας, εἰς ἥν ἡ Ὁσία ἀνήγειρεν Μονήν ἐπ' ὀνόματι τοῦ Ἁγίου Ἐνδόξου Πρωτομάρτυρος καί Ἀρχιδιακόνου Στεφάνου, ἔνθα ἐμόνασεν καί ἐκοιμήθη ἐν Κυρίῳ. Εἰς τήν ἐν λόγῳ Ἱεράν Μονήν καί πόλιν, ἡ Ὁσία, μετά τήν ἁγίαν ζωήν της καί τήν εἰς Κύριον ἐκδημίαν της, ἐτιμήθη ὡς πολιοῦχος καί προστάτις. Ὡς ἐκ τούτων ἡ ἀρχαία αὕτη καί Ἱερά Ἀκολουθία ἐπανεκδίδεται εἰς μνημόσυνον αἰώνιον τῶν μακαρίων καί ἀοιδίμων πατέρων ἡμῶν τῶν ἐν ἐκείνῃ τῇ πόλει καί τῇ ἐπαρχίᾳ βιωσάντων καί ἐν Κυρίῳ κοιμηθέντων, τῶν ὁποίων τά ὀνόματα εὑρίσκονται ἐγγεγραμμένα ἐν βίβλῳ ζωῆς.*

*Δράττομαι ὅμως τῆς εὐκαιρίας πέραν αὐτῶν, νά εὐχαριστήσω ἅπαντας τούς Ὀρθοδόξους Χριστιανούς τῆς περιοχῆς Χαριλάου, μικρούς καί μεγάλους, νέους καί νέας, εὐπόρους καί ἀπόρους, ἄρχοντας καί ἀρχομένους, οἵτινες μέ ἐβοήθησαν καί μοῦ συνμπαρεστάθησαν εἰς τό καθ' ὅλον ποιμαντικόν μου ἔργον ἀπό τοῦ ἔτους 1979, ὅτε καί κατεστάθην τακτικός ἐφημέριος τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης μέ τακτικόν διορισμόν τοῦ Παναγιωτάτου Μητροπολίτου Θεσσαλονίκης Κυρίου Κυρίου ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ τοῦ Β΄, ὑπό τοῦ ὁποίου ὡρίσθην Πρόεδρος τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου καί Ἱερατικῶς Προϊστάμενος τοῦ Ἱεροῦ Ναοῦ, ὡς πτυχιοῦχος τῆς Ριζαρείου Ἐκκλησιαστικῆς Σχολῆς Ἀθηνῶν, καί ὡς πτυχιοῦχος τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν, τόν ὁποῖον καί εὐχαριστῶ καί εὐγνωμονῶ ἀπείρως.*

*Ἠγάπησα τόν Ἱερόν Ναόν τῆς Ὁσίας Ξένης, συνεδέθην μέ τόν λαόν τοῦ Θεοῦ, ἠργάσθην καί ἐργάζομαι νυχθημερόν διά τήν καλλιέργειαν τοῦ λόγου τοῦ Θεοῦ, εἰς ὅλους τούς τομεῖς ἀφ' ἑνός, καί ἀφ' ἑτέρου συνεργαζόμενος ἐν Πνεύματι Θεοῦ μέ τούς συνεφημερίους μου, ἀλλά καί μέ τόν λαόν τοῦ Θεοῦ, διά τόν ἐξωραϊσμόν καί εὐτρεπισμόν, τόσον τοῦ νέου Ἱεροῦ Ναοῦ, ἐπί τῆς ὁδοῦ Μαρασλῆ, ὁ ὁποῖος ἤδη κατέστη περικαλλέστατος, ὅσον καί τοῦ παλαιοῦ Ἱεροῦ Ναοῦ, ἐπί τῆς ὁδοῦ Παπαναστασίου, ὁ ὁποῖος μέ τά χρήματα καί τάς εἰσφοράς τοῦ πτωχοῦ λαοῦ, ὡς ἐπί τό πλεῖστον, ἀνεκαινίσθη ἐκ βάθρων, μέ πολλάς βελτιώσεις καί συντηρήσεις, αἵτινες καί ἤρχισαν ἀπό τήν πρώτην στιγμήν τῆς ἐγκαταστάσεώς μου εἰς τόν Ἱερόν Ναόν τῆς Ὁσίας Ξένης.*

*Πρίν ὅμως ἀναφερθῶ εἰς τό τί ἀκριβῶς ἐπετελέσθη, θεωρῶ σκόπιμον καί ἀναγκαῖον νά ἀναφερθῶ εἰς τόν κοιμηθέντα συνεργάτην, ἀδελφόν, φίλον καί πατέρα, ὡς εἰς μνημόσυνον αἰώνιον, Αἰδεσιμολογιώτατον Πρωτοπρεσβύτερον π. Ἐμμανουήλ Ἀρχανιωτάκην. Νά εἴπω μέ εἰλικρίνειαν ὅτι μοῦ συμπαρεστάθη, ὅτι μέ ἐβοήθησεν ποιμαντικῶς, ὅτι ἠργάσθη εἰς τό κήρυγμα, εἰς τά κατηχητικά σχολεῖα, εἰς τήν φιλανθρωπίαν, εἰς τό Μυστήριον τῆς Ἱερᾶς Ἐξομολογήσεως, καί εἰς τά ληξιαρχικά βιβλία τοῦ Ἱεροῦ Ναοῦ, ἀκριβῶς διότι εἶχεν ἦθος, ἀρχάς καί ἐγνώριζεν γράμματα, πάντοτε δέ ἐκ τῶν διαλόγων καί τούς ὁποίους εἴχομεν, ἀνεφερόμεθα εἰς τούς Ἁγίους Πατέρας τῆς Ἐκκλησίας ἡμῶν, τούς ὁποίους καί ἐτίμα, διότι ἐπίστευεν ψυχῇ τε καί καρδίᾳ, ὅτι " τιμή Ἁγίου μίμησις Ἁγίου ". Συνεχῶς ἐλέγομεν περί τῆς ὁμολογίας τῆς ἐκκλησίας ἡμῶν, καί τό ὅτι οἱ Ἅγιοι Πατέρες εἶναι τά πάγχρυσα στόματα τοῦ Λόγου καί τά μυρίπνοα ἄνθη τοῦ παραδείσου. Ἄς εἶναι αἰωνία του ἡ μνήμη, καί ὁ Θεός νά τόν ἀναπαύῃ ἐν χώρᾳ ζώντων καί ἐν σκηναῖς δικαίων. Ἐγώ τηρῶ τόν λόγον τῆς ὑποσχέσεώς μου, ὅτι θά τόν μνημονεύω ὡς εὐλαβέστατον προκάτοχόν μου. Καί πάλιν εὔχομαι νά εἶναι αἰωνία του ἡ μνήμη.*

*Εἶναι γνωστόν ὅτι ἀπό τήν ἀρχήν τοῦ ἔτους 1979, ἕως καί σήμερον, ὠργανώσαμεν κατά τόν καλύτερον τρόπον, τόν πνευματικόν τομέα τῆς ἐνορίας, μέ σημεῖον ἐπικεντρώσεως τήν ἀνοικοδόμησιν τοῦ ἐνοριακοῦ πνευματικοῦ κέντρου ἀκριβῶς πλησίον τοῦ νέου Ἱεροῦ Ναοῦ τῆς Ὁσίας Ξένης. Ἕν ἐνοριακόν κέντρον μέ ὅλας τάς εὐκολίας διά ὁμιλίας αἱ ὁποῖαι γίνονται καθ' ἑκάστην Δευτέραν εἰς τάς 7.00 μ.μ., διά τούς νέους, οἱ ὁποῖοι καί παρακολουθοῦν μαθήματα καί συνάξεις, διά συμμελέτην Ἁγίας Γραφῆς διά τούς ἄνδρας, τήν ὁποίαν καί συντονίζει καθ' ἑκάστην Δευτέραν εἰς τάς 6.00 μ.μ. ὁ συνεργάτης καί βοηθός μου εἰς τό ποιμαντικόν ἔργον κ. Κωνσταντῖνος Κατράνας, Θεολόγος - Ὑποδιευθυντής τοῦ Α΄ Λυκείου Χαριλάου.*

*Ὄντως τά θαυμαστά τά ὁποῖα καί ἐποίησεν ὁ Θεός διά πρεσβειῶν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, μέ τήν δραχμήν τοῦ λαοῦ Του, διά τούς Ἱερούς Ναούς τῆς Ὁσίας Του, νέον καί παλαιόν, εἶναι λίαν ἤ ἀξιόλογα, δυνάμεθα δέ νά καυχώμεθα ἐν Κυρίῳ διά ταῦτα πάντα, καί συγκεκριμένως :*

*Εἰς τόν παλαιόν Ἱερόν Ναόν, ἀνακατεσκευάσθησαν ἐκ βάθρων καί ἐξ ἀρχῆς ἅπασαι αἱ τοιχοποιίαι καί ἡ σκεπή. Ἐγένετο ἡ ὀρθομαρμάρωσις, ἡ πλακομαρμάρωσις, ἡ ἠλεκτρική ἐγκατάστασις, ἡ περίφραξις, τό τέμπλον. Ἠγοράσθησαν πολυέλεοι, καθίσματα, στασίδια, παγκάρια, μοκέτται, καλύμματα Ἁγίας Τραπέζης, ξυλόγλυπται κατασκευαί διά τό Ἅγιον Βῆμα καί τήν Ἁγίαν Προσκομιδήν. Ἐτοποθετήθησαν ἠλεκτρικά σώματα, ἤτοι συσσωρευταί μέ νυκτερινόν ρεῦμα. Ἐδενδροφυτεύθη ὁ κῆπος εἰς ὅλην τήν περιφέρειαν τοῦ Ἱεροῦ Ναοῦ. Ἠγοράσθησαν χρηματοκιβώτια διά τήν ἐξασφάλισιν τῆς δραχμῆς τοῦ λαοῦ τοῦ Θεοῦ. Ἐτοποθετήθη μηχανισμός διά τήν μικράν καμπάναν, ἥτις καί προϋπῆρχεν, ὡς ἐπίσης καί πλήρης μικροφωνική ἐγκατάστασις. Ἐγένοντο ἅπαντα τά ἐξωτερικά καί ἐσωτερικά ἐπιχρίσματα τοῦ Ἱεροῦ Ναοῦ, ἅτινα διά τοῦ λευκοῦ χρώματός των ἐντυπωσιάζουν τόν πιστόν, καί κατά τόν τρόπον αὐτόν ἀκτινοβολεῖ, ἀνακαινισμένος πλέον μέ τήν χάριν τοῦ Θεοῦ καί μέ τάς πρεσβείας τῆς Ὁσίας Ξένης πρός δόξαν τοῦ Θεοῦ. Ἐδαπανήθησαν ἀρκετά χρήματα, τά ὁποῖα ἔδωσεν ὁ Θεός κατόπιν πολλῶν στερήσεων τοῦ λαοῦ Του, τόν ὁποῖον εὐχαριστῶ καί εὐγνωμονῶ.*

*Εἰς τόν νέον Ἱερόν Ναόν τῆς Ὁσίας Ξένης ἐπί τῆς ὁδοῦ Μαρασλῆ ἐγένοντο τό μαρμάρινον τέμπλον καί αἱ Ἅγιαι Εἰκόναι ὑπό τοῦ ἁγιογραφικοῦ οἴκου τῶν Παχωμαίων ἐξ Ἁγίου Ὄρους. Ἠγοράσθησαν καθίσματα, στασίδια, καλύμματα Ἁγίας Τραπέζης κεντητά καί βελούδινα, ξυλόγλυπτα διά τό Ἅγιον Βῆμα, πολυέλεοι, χρηματοκιβώτια. Ἀνακατεσκευάσθησαν τά παγκάρια, τό κωδωνοστάσιον τοῦ*

*ἱεροῦ ναοῦ καί ἐτοποθετήθησαν κέραμοι εἰς ὅλας τάς ἀκαλύπτους ἐπιφανείας τῆς σκεπῆς. Ἠγοράσθησαν μοκέτται καί ἐγένετο τό τέμπλον, καί ἀπό τό δεξιόν καί ἀπό τό εὐώνυμον κλίτος τοῦ γυναικωνίτου. Ἠγοράσθησαν καί ἐτοποθετήθησαν εἰς τά καθίσματα τοῦ γυναικωνίτου εἰδικά μαξιλάρια διά νά κάθωνται αἱ χριστιαναί κυρίες καί δεσποινίδες. Ἐγένετο ἐν τῷ προαυλίῳ τοῦ νέου Ἱεροῦ Ναοῦ τρουλλίσκος, τύπου μικροῦ παρεκκλησίου, ἤτοι "Φιάλη" κατά τό ἁγιορειτικόν σχέδιον. Ἠγοράσθησαν μανουάλια καί νέα μικροφωνική ἐγκατάστασις. Ἐπίσης ἠγοράσθησαν κολῶνες "μαντεμένιες" διά τόν φωτισμόν τοῦ προαυλίου τοῦ νέου Ἱεροῦ Ναοῦ ἕξ (6) τόν ἀριθμόν. Ἀντικατεστάθη ἡ ἠλεκτρική ἐγκατάστασις λόγῳ φθορᾶς τοῦ ἐξωτερικοῦ φωτισμοῦ καί ἐτοποθετήθησαν νέοι πίνακες ἠλεκτροφωτισμοῦ καί εἰς τόν παλαιόν καί εἰς τόν νέον Ἱερόν Ναόν. Ἐτοποθετήθησαν καμπάνες εἰς τό κωδωνοστάσιον τρεῖς (3) τόν ἀριθμόν, ὡς ἐπίσης καί ἠλεκτρικός μηχανισμός διά τήν κίνησίν των. Ἠγοράσθησαν Ἐπιτάφιοι ξυλόγλυπτοι καί διά τόν νέον καί διά τόν παλαιόν Ἱερόν Ναόν καί ἐφιλοτεχνήθη Ἐσταυρωμένος ὑπό τοῦ ἁγιογραφικοῦ οἴκου τῶν Παχωμαίων. Ἐγένετο Σύνθρονον ἐν τῷ Ἱερῷ Βήματι τοῦ νέου Ἱεροῦ Ναοῦ καί ἐκτίσθησαν γραφεῖα διά τό ἔργον τῶν ποιμένων τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας. Ἠγοράσθησαν τά συγγράμματα τῶν Ἁγίων πατέρων, ἐγένοντο βιβλιοθῆκαι ἐν τοῖς Γραφείοις τοῦ νέου Ἱεροῦ Ναοῦ, ὡς ἐπίσης καί ἐν τῷ ἐνοριακῷ πνευματικῷ κέντρῳ. Ἠγοράσθη καί ἐτοποθετήθη ὁ μηχανισμός κεντρικῆς θερμάνσεως (καλοριφέρ καύσεως καί κυκλοφοριακοῦ). Ἐγένετο ἡ πλακομαρμάρωσις τῆς αὐλῆς τοῦ νέου Ἱεροῦ Ναοῦ, ὁ ὁποῖος καί ἐχρωματίσθη ἔσωθεν καί ἔξωθεν δύο (2) φοράς κατά τό διάστημα τό ὁποῖον καί διηνύθη.*

*Θά ἦτο παράληψίς μου ἐάν δέν ἐξέφραζον τάς εὐχαριστίας μου καί τήν εὐγνωμοσύνην μου πρός τάς κυρίας τοῦ συμβουλίου τοῦ ἐνοριακοῦ κέντρου, ἤτοι Ἀριστονίκην Ντάλντα, Εἰρήνην Κωστοπούλου, Μαρίαν Σεβαστᾶ, Μαρίαν Μαυρουδίδου, Φαίδραν Καρούση, Ἀθανασίαν Πούσιου, Αἰκατερίναν Ἀσβεστᾶ, Ἀθανασίαν Πετσάνη, Τριανταφυλλιάν Πιλπιλίδου, Πόπην Μπαλαμπάνη, Γεωργίαν Σιποπούλου, Ἀναστασίαν Μπαμπίλα, Ἀλεξάνδραν Κοντογιάννη, Ἀγγελικήν Τσαπώνη, Γεωργίαν Φαντοπούλου, Ἀναστασίαν Συντριβάνη, Μαρίαν Κουτιανούδη καί Βασιλικήν Καραγιάννη. Ὅλαι αὐταί αἱ κυρίαι μαζί μέ ἄλλας τῆς ἐνορίας, ἐξυπηρετοῦν ἀφιλοκερδῶς καί ἐν φόβῳ Θεοῦ τόν λαόν Του, κατά τάς δεξιώσεις τῶν Μνημοσύνων καί λοιπῶν ἐκδηλώσεων, ἐν τῷ ἐνοριακῷ πνευματικῷ κέντρῳ, διακονοῦν δέ ἅπαντας καί ἁπάσας τάς οἰκογενείας αἵτινες καί χρησιμοποιοῦν τάς αἰθούσας τοῦ ἐν λόγῳ κέντρου, ἐσωθεν, ἔξωθεν καί κάτωθεν, προκειμένου νά προσφέρουν καφέ καί ἄλλα ἐδέσματα ἐπ' εὐκαιρίᾳ μνημοσύνων τῶν συγγενῶν, τῶν ἀδελφῶν, τῶν τέκνων ἤ τῶν συζύγων των.*

*Ἀναφέρω ταῦτα πάντα διά νά φθάσω εἰς τό συμπέρασμα ὅτι ἡ ἀποστολή των καί ἡ προσφορά των εἶναι τό ὅτι διά τῆς διακονίας των, τά χρήματα τά ὁποῖα καί συγκεντρώνονται ἐκ τῶν δεξιώσεων διατίθενται εἰς τόν ἐξωραϊσμόν, τόν εὐτρεπισμόν καί τήν λειτουργίαν τῶν ἱερῶν ναῶν καί τήν ἀγοράν ἁπάντων ἐκείνων ἅτινα καί ἐγένοντο ἐν αὐτοῖς. Αἱ χρηματικαί προσφοραί αὗται προέρχονται ἀπό τήν εὐσέβειαν τῶν ἀνθρώπων, καί χάρις εἰς τήν διακονίαν τῶν ἐν λόγῳ κυριῶν εὐτρεπίζονται, συντηροῦνται καί ἐξωραΐζονται οἱ ἱεροί ναοί καί τό ἐνοριακόν πνευματικόν κέντρον. Ἰδού διατί ἡ ὀπισθάμβωνος εὐχή τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, προκαλεῖ δέος καί εἰς τήν καρδίαν ἡμῶν τῶν ἱερέων, ὡς παριστάμεθα ἐνώπιον τῆς Εἰκόνος τοῦ Δεσπότου Χριστοῦ κατά τό πέρας τῆς Θείας Λειτουργίας, καί ὡς λέγομεν ἤ ἀκούομεν τό : " ἁγίασον Κύριε τούς ἀγαπῶντας τήν εὐπρέπειαν τοῦ Οἴκου Σου ".*

*Εὑρισκόμενος λοιπόν ἐνώπιον τῶν πολλῶν ὑποχρεώσεών μου, ἵσταμαι μέ συγκίνησιν καί ἐκφράζω ἐκ βάθους καρδίας τάς πολλάς μου εὐχαριστίας πρός τούς ἐκκλησιαστικούς συμβούλους οἵτινες καί μοῦ συμπαρεστάθησαν καί συμπαρίστανται εἰς τό κατά πάντα δύσκολον ἔργον μου, τό ὁποῖον καί εἶναι ἔργον τοῦ Θεοῦ, ἡ δέ διακονία καί προσφορά των, καί μέ τάς προσωπικάς μου εὐχάς, ἄς εἶναι μία κανδήλα ἀνημμένη ἐνώπιον τοῦ Θεοῦ Πατρός, τοῦ Υἱοῦ Του καί Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διά τῶν πρεσβειῶν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης. Καί πάλιν θερμῶς τούς εὐχαριστῶ καί εὐγνωμονῶ, καί θά προσεύχομαι διά τήν ὑγιείαν των καί τήν ὑγιείαν τῶν οἰκογενειῶν των ἐν ὅσῳ ζῶ, ἀλλά καί πέραν τοῦ τάφου, μέχρι τῆς Δευτέρας τοῦ Κυρίου Παρουσίας.*

*Ὡς ἐκ τούτων εὐχαριστῶ τούς κ.κ. Ἐκκλησιαστικούς Συμβούλους-Ἐπιτρόπους, Ἰωακείμ Ἰωακειμίδην, Δημήτριον Σεβαστᾶν, Ἀθανάσιον Ντάλνταν, Παῦλον Τσαπώνην, Νικόλαον Τσιάραν, Εὐάγγελον Τσουκπτᾶκον, Εὐάγγελον Φαντόπουλον, Ἰωάννην Πούσιον, Διαμαντῆν Χρήστου καί Κωνσταντῖνον Τζαβαλιᾶν. Εὐχαριστῶ ὡσαύτως καί εὐγνωμονῶ τούς πνευματικούς συμβούλους καί συνεργάτας ἐν τῷ ἐνοριακῷ ἔργῳ τῆς τοπικῆς ἐκκλησίας, κ.κ. Βασίλειον Γιούλτσην-Καθηγητήν Θεολογικῆς Σχολῆς Α.Π.Θ., Ἀθανάσιον Ἀγγελόπουλον-Καθηγητήν Θεολογικῆς Σχολῆς Α.Π.Θ., Δῆμον Ματσκίδην-Θεολόγον, Κωνσταντῖνον Κατράναν-Θεολόγον, Ἰωάννην Κωτίτσαν-Θεολόγον, Βασίλειον Ζαρντινίδην-Νομικόν, Βενιζέλον Χριστοφορίδην-Ἐπίκουρον Καθηγητήν τῆς Θεολογικῆς Σχολῆς Α. Π.Θ., Ἰωάννην Τζανῆν-Φιλόλογον-Λογοτέχνην, ὡς ἐπίσης καί τάς κυρίας Ζαχαρούλαν Παπαδοπούλου(Κατράνα)-Θεολόγον, Χρυσάνθην Καρακόλη(Ματσκίδου)-Φιλόλογον, Σταματίαν Γιαννακίδου-Θεολόγον, Χρύσαν Τσαπώνη-Θεολόγον, Μαρίαν Θεοχαρίδου-Φιλόλογον, Ἐλισάβετ Χατζηϊωαννίδου-Πτυχιοῦχον Ἀνωτάτης Βιομηχανικῆς, Ἀγγελικήν Σαββοπούλου-Θεολόγον, Χρυσάνθην Χατζηϊωαννίδου-Σπουδάστριαν, Καλλιόπην Τσαπώνη-Διδασκάλισσαν καί Μαρίαν Χρυσανθοπούλου-Ἐπίτιμον Διευθύντριαν Α. Π. Θ. - Νομικόν.*

*Εὐχαριστῶ ἀπείρως τούς ἁγίους πατέρας, συνεργάτας, συνεφημερίους καί ἀδελφούς ἐν Χριστῷ διά τήν συμπαράστασίν καί τήν ἀγάπην των, ἤτοι : Αἰδεσιμώτατον Οἰκονόμον π. Δημήτριον Εὐθυμίου, Αἰδεσιμώτατον Οἰκονόμον π. Ἰωάννην Κατινιόν καί Αἰδεσιμώτατον Οἰκονόμον π. Ἀριστείδην Γαβριλάκην.*

*Ἐπίσης εὐχαριστῶ καί προσεύχομαι διά τήν ὑγιείαν τοῦ κατωτέρου κλήρου, ἤτοι τῶν ἁγίων ἱεροψαλτῶν τοῦ νέου καί τοῦ παλαιοῦ ἱεροῦ ναοῦ, μετά τῶν βοηθῶν των, κ.κ. Φυλακτοῦ Μπόζα, Ἀθανασίου Βουτριᾶ, Στεργίου Μάρκου καί Κωνσταντίνου Καναβούρα. Εὔχομαι εἰς αὐτούς ὑγιείαν, νά τελειοποιῶνται εἰς τήν ἐκκλησιαστικήν, βυζαντινήν καί ὀρθόδοξον μουσικήν, νά ἀγωνίζωνται ἐπί τό καλύτερον διά νά ἑρμηνεύωσι τήν μουσικήν τῶν πατέρων ἡμῶν καί τήν ὑμνολογίαν τῆς ἁγίας ἡμῶν Ἐκκλησίας. Πέραν αὐτῶν εὐχαριστῶ τούς συνταξιούχους τέως ἱεροψάλτας τοῦ ἱεροῦ ναοῦ κ.κ. Βασίλειον Βασιλειάδην καί Νικόλαον Κάττον.*

*Ἐκφράζω τάς θερμάς μου εὐχαριστίας εἰς τόν κατώτερον κλῆρον, ἤτοι τάς νεωκόρους-καθαριστρίας τῶν Ἱερῶν Ναῶν κυρίας, Αἰκατερίναν Μπλιζνάκην καί Αἰκατερίναν Κοπάνου καί εὔχομαι εἰς αὐτάς ὑγιείαν, χαράν, καί ὅπως ἡ ζωή καί αἱ χεῖρες των ἐνισχυθῶσιν διά τῆς Χάριτος τοῦ Θεοῦ, πάντοτε μέ τάς πρεσβείας τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, ἵνα εὐτρεπίζωσιν εὐσχημόνως καί κατά τάξιν τούς Ἱερούς Ναούς, διά νά τελῶνται ἐν καθαριότητι, λαμπρότητι καί φωτεινότητι τά Μυστήρια τῆς Ἐκκλησίας, διά τήν σωτηρίαν των καί διά τήν σωτηρίαν τοῦ λαοῦ τοῦ Θεοῦ.*

*Περαίνων τόν παρόντα πρόλογον, ἐπ᾽ εὐκαιρίᾳ τῆς συνεκδόσεως νέας καί παλαιᾶς ἱερᾶς ἀκολουθίας τῆς Ὁσίας Ξένης ὑπό τοῦ Ἱεροῦ Ναοῦ της ἐν τῇ περιοχῇ Χαριλάου Θεσσαλονίκης, παραθέτω τά στοιχεῖα ἅτινα ἔχουν σχέσιν μέ ὅλον τό ἐνοριακόν πνευματικόν ἔργον τῶν Ἱερῶν Ναῶν, τά ἀναφερόμενα εἰς ὅτι καλύτερον θά ἠδυνάμην νά πράξω διά τό πνευματικόν, τό ἐνοριακόν, τό κηρυκτικόν καί τό κατηχητικόν ἔργον, μέ τήν ἐλπίδα καί μέ τήν ἀφοσίωσιν εἰς τόν ἐν Τριάδι Θεόν, διά πρεσβειῶν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, καί πάντοτε διά τῆς προσευχῆς καί μετανοίας μου, ἵνα ὁ Πανάγαθος Θεός χαρίζῃ ἔλεος, προστασίαν, ἐνίσχυσιν καί πλούσια τά δωρήματά Του, κατευθύνῃ δέ τά διαβήματα ὅλων τῶν συνεργατῶν μου εἰς πᾶν ἔργον ἀγαθόν, πρός δόξαν Ἐκείνου ὁ Ὁποῖος ἀνέχεται καί ἀναμένει ἡμᾶς εἰς μετάνοιαν, καί ὁ Ὁποῖος ἁγιάζει ἡμᾶς. Ταῦτα πάντα εὔχομαι εἰς ὅλους τούς συνεργάτας ἀδελφούς, τούς συνεφημερίους μου, τούς ἐκκλησιαστικούς ἐπιτρόπους, τούς συνεργάτας τοῦ ἐνοριακοῦ πνευματικοῦ ἔργου, τούς συνεργάτας εἰς τήν κατήχησιν τῶν τέκνων ἡμῶν, τούς Ἱεροψάλτας καί Νεωκόρους, ἀλλά καί εἰς τόν λαόν τοῦ Θεοῦ, τόν ὁποῖον μοῦ ἐνεπιστεύθη ὁ Κύριος διά τοῦ Ἐπισκόπου Του, ἵνα ποιμαίνω τοῦτον κατά Θεόν, ἔχων ὑπ᾽ ὄψιν μου τήν προτροπήν " βόσκε τά ἀρνία μου, ποίμαινε τά πρόβατά μου", τήν ὁποίαν καί ἀναφέρει διά τούς Ἐπισκόπους ὁ Κύριος, οἱ ὁποῖοι καί παρέδωσαν εἰς ἡμᾶς τούς Πρεσβυτέρους τήν Ἱεράν ταύτην Παρακαταθήκην.*

*Θά ἐπεθύμουν μέ αὐτογνωσίαν νά ἴδω ἐν καρδίᾳ καθαρᾷ τόν Θεόν Πατέρα, ἵνα εἰλικρινῶς παρακαλέσω Τοῦτον, μέ πίστιν, μέ ἀγάπην, μέ ταπείνωσιν, μέ ἀφοσίωσιν, ἀνάπτων μέ τήν προσφοράν τοῦ ἰδίου μου τοῦ ἑαυτοῦ ἕν κηρίον ἐνώπιον τοῦ Κυρίου ἡμῶν, καί διά πρεσβειῶν τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, διά νά μέ διατηρεῖ ἐν ὑγιείᾳ, ἵνα προσφέρω ὅτι καλύτερον πρός τόν λαόν τοῦ Θεοῦ καί ἵνα ζῶ πλησίον τῶν Τιμίων Λειψάνων τῆς Ὁσίας, τά ὁποῖα καί μετέφερον οἱ πατέρες ἡμῶν διά περισσοτέραν ἀσφάλειαν ἀπό τά Μύλασσα εἰς τήν Ἀνατολικήν Θράκην, καί μάλιστα τήν πόλιν Σηλυβρίαν. Οἱ πατέρες ἡμῶν καταδιωκόμενοι κατά τήν περίοδον τῆς Μικρασιατικῆς καταστροφῆς ἐζήτησαν καταφύγιον εἰς τήν Μητέρα Πατρίδα καί μετέφεραν τά Ὅσια καί τά Ἱερά τῆς πίστεως, διότι ἐπίστευον ὅτι ταῦτα ἀποτελοῦν τάς ῥίζας ἡμῶν, αἱ ὁποῖαι ὅπου μεταφυτευθῶσιν θά βλαστήσωσι καί θά καρποφορήσωσιν. Ὡς ἐκ τούτου ἀποτελεῖ μεγάλην εὐλογίαν διά τόν τόπον, τό γεγονός ὅτι ἡ πόλις τῆς Θεσσαλονίκης, ἐν τῷ Ἱερῷ Ναῷ τῆς Ὁσίας Ξένης Χαριλάου, φιλοξενεῖ τά Τίμια Λείψανα τῆς Ὁσίας Ξένης, ἡ ὁποία εἴθε νά πρεσβεύῃ πρός τόν Σωτῆρα Χριστόν, ἵνα ἀποξενωθῶμεν τῆς ἁμαρτίας, διά νά καταστῶμεν ἰδικοί καί οἰκεῖοι Του.*

*Κατόπιν τῶν πολλῶν μου ὑποχρεώσεων νά ἐκφρασθῶ συνειδησιακά, ἐν τῷ συνόλῳ τῶν εὐθυνῶν μου διά τούς ἱερούς ναούς ἡμῶν, καί ἀπό τά βάθη τῆς καρδίας μου, πάντοτε μέ τήν ποιμαντικήν μου ἀγωνίαν δι᾽ ὅτι καλύτερον, πνευματικώτερον, ὀρθότερον καί ἁγιώτερον διά τόν πνευματικόν ἀνεφοδιασμόν τοῦ λαοῦ τοῦ Θεοῦ, τόν ὁποῖον μοῦ ἐνεπιστεύθη ὁ Κύριος, καί ὡς Ὑπεύθυνος τοῦ πνευματικοῦ ἔργου τῆς τοπικῆς ἐκκλησίας τῆς ἐνορίας τῆς Ὁσίας Ξένης, ἥτις ἐνορία διατηρεῖ ἐν τοῖς ὁρίοις ταύτης, παλαιόν καί νέον ἱερόν ναόν, ἔχουσα τό ἴδιον ποίμνιον, θεωρῶ καθῆκον μου, ἵνα ἁπλώσω χεῖρα ἀγάπης καί ἵνα εὐχαριστήσω εὐγνωμόνως ἅπαντας τούς Καθηγητάς οἱ ὁποῖοι καί ὡμίλησαν κατά διαστήματα ἐν τῷ πνευματικῷ κέντρῳ, καθ᾽ ἑκάστην Δευτέραν 7 μ.μ., ὡς ἐπίσης καί ἅπαντας τούς Καθηγητάς,Θεολόγους καί μή, οἵτινες καί ὡμίλησαν ἐδῶ καί ὀκτώ (8) ἔτη περίπου, ἀπό τότε πού προσεφέρθη τό ἐνοριακόν κέντρον εἰς τήν διάθεσιν τοῦ λαοῦ τοῦ Θεοῦ διά πνευματικήν καλλιέργειαν καί ἀνεφοδιασμόν.*

Ἐπίσης, ὡς προϊστάμενος τῆς φιλανθρωπίας ἐν τῇ ἐνορίᾳ τῆς Ὁσίας Ξένης, καί ὡς Γραμματεύς-Λογιστής-Ταμίας τοῦ Γενικοῦ Φιλοπτώχου Ταμείου τῆς Ἱερᾶς Μητροπόλεως Θεσσαλονίκης, ἀλλά καί ὡς Ὑπεύθυνος τοῦ Γραφείου τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἱερᾶς Μητροπόλεως Θεσσαλονίκης ἐπί εἰκοσαετίαν, θεωρῶ καθῆκον μου ὅπως εὐχαριστήσω ἁπάσας τάς κυρίας τῆς φιλανθρωπικῆς δράσεως καί διακονίας τοῦ ἱεροῦ ναοῦ, ἐν τῷ ὁποίῳ ὑπηρετῶ καί ὡς διάκονος τῶν ἔργων τῆς ἀγάπης, διότι ἡ φιλανθρωπία εἶναι λειτουργία πίστεως, ἀλλά καί ἅπασα ἡ Ἐκκλησία εἶναι λειτουργία ἀγάπης διά τούς πάσχοντας ἀδελφούς ἡμῶν, οἱ ὁποῖοι καί εἶναι ἀδελφοί τοῦ Κυρίου ἡμῶν. Ἅπασαι αἱ κυρίαι τῆς ἐνορίας ἡμῶν καί τοῦ διοικητικοῦ συμβουλίου τοῦ ἐνοριακοῦ φιλοπτώχου ταμείου ἐπισκέπτονται καί ἐνισχύουν, ἐν τῷ μέτρῳ τοῦ δυνατοῦ, οἰκογενείας ἀπόρων, φοιτητάς καί φοιτητρίας, δίδουν χρήματα δι᾽ οἰκονομικήν ἐνίσχυσιν ἀπόρων πρός ἐξόφλησιν ἐνοικίων καί ἀγοράν πετρελαίου, καί κατ᾽ αὐτόν τόν τρόπον ἡ Ἐκκλησία πρωτοστατεῖ μέ τήν δραχμήν τήν ὁποίαν προσφέρει ἡ ἐνορία μέ ἀγάπην Χριστοῦ, ὅταν Ἐκεῖνος κρούει τήν θύραν ἡμῶν ἵνα προσφέρωμεν τήν ἐλεημοσύνην ἡμῶν. Δέν ἐπιτρέπεται καί δέν ἐννοεῖται τοπική ἐκκλησία τοῦ Χριστοῦ ἄνευ φιλανθρωπικῆς δράσεως καί διακονίας, ὅπως δέν ἐπιτρέπεται νά ὑπάρχῃ ναός, ἐν τῷ ὁποίῳ νά μήν προσεύχωνται ἅπασαι αἱ κυρίαι τῆς φιλανθρωπίας, καί νά μήν ἐπιτελοῦν παράκλησιν πρός τόν Θεόν Πατέρα καί τούς Ἁγίους τῆς Ἐκκλησίας ἡμῶν, διά τήν εὐόδωσιν τοῦ ὡς ἄνω σκοποῦ, ὡς οὕτως συμβαίνει ἐν τῷ παλαιῷ ἱερῷ ναῷ τῆς Ὁσίας Ξένης, καθ᾽ἑκάστην Τετάρτην, ἐν συνεχείᾳ τοῦ Ἑσπερινοῦ, ὅτε τελεῖται Παράκλησις καί γίνεται ὁμιλία ὑπό τῆς Θεολόγου κ. Ζαχαρούλας Παπαδοπούλου-Κατράνα, τήν ὁποίαν καί εὐχαριστῶ εὐγνωμόνως διά τούς κόπους εἰς τούς ὁποίους ὑποβάλλεται διά τό ἔργον τοῦ Θεοῦ. Ἐπίσης εὐχαριστῶ τήν Φιλόλογον κ. Χρυσούλαν Καρακόλη-Ματσκίδου, ἡ ὁποία καί ἐπιτελεῖ τό ἴδιον ἔργον ἐν τῷ νέῳ ἱερῷ ναῷ, καθ᾽ἑκάστην Πέμπτην, ἐν συνεχείᾳ τοῦ Ἑσπερινοῦ καί τοῦ Παρακλητικοῦ Κανόνος πρός τήν Ὁσίαν Μητέρα, Βοηθόν καί Ἀντιλήπτορα Ξένην, μέ ἐπικαίρους ὁμιλίας της, πρός δόξαν Θεοῦ. Εὔχομαι εἰς αὐτάς, εἰς τόν λαόν τοῦ Θεοῦ, εἰς τάς κυρίας τοῦ ἐνοριακοῦ φιλοπτώχου ταμείου, ὡς ἐπίσης καί εἰς ὅλας τάς κυρίας καί δεσποινίδας αἱ ὁποῖαι συμμετέχουσιν εἰς ὅλας αὐτάς τάς πνευματικάς πανδαισίας, ὑγιείαν, χαράν, ἀγάπην Χριστοῦ, πλουσίαν τήν Χάριν Του καί πλούσια τά δωρήματα τῶν Μυστηρίων Του. Κατόπιν τούτων, θερμῶς εὐχαριστῶ τάς κάτωθι κυρίας τοῦ ἐνοριακοῦ φιλοπτώχου ταμείου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης, ἤτοι, Χρυσάνθην Ματσκίδου- Ἀντιπρόεδρον, Ζαχαρούλαν Κατράναν- Ἀντιπρόεδρον, Βασιλικήν Ἀναγνωστοπούλου-Γραμματέα-Ταμίαν, Ἑκάβην Πρωτοπαπαδάκη, Βασιλικήν Χρήστου, Μαρίαν Μαυρουδίδου, Μυρσίνην Τσάρα, Αἰκατερίναν Συμεωνίδου, Ἀγγελικήν Τσαπώνη, Ἰωάνναν Βράνη, Σουλτάναν Βεϊνόγλου, Θάλειαν Ἀναγνώστου, Στυλιανήν Πατσούρα καί Ρούλαν Ἀθανασίου.

Θά ἐπεθύμουν εἰς τό σημεῖον τοῦτο νά κλείσω τόν πρόλογόν μου εἰς μνημόσυνόν μου, ἀναφερόμενος πρός αὐτήν τήν Ὁσίαν Ξένην, ἡ ὁποία διέπρεψεν ἐν τῷ πανεπιστημίῳ τῆς ἐρήμου,καί τήν ὁποίαν ἡ Ἐκκλησία ἡμῶν τιμᾷ τήν 24ην Ἰανουαρίου ἑκάστου ἔτους. Αὕτη γεγεννημένη τόν 5ον αἰῶνα μ.Χ. ἐν τῇ ἐνδόξῳ Ῥώμῃ καί καταγομένη ἐκ πλουσίας καί εὐγενικῆς οἰκογενείας, ἀντήλλαξε τόν γήϊνον νυμφίον μέ τόν οὐράνιον Νυμφίον Χριστόν καί κατέφυγεν μέ τήν συνοδείαν τῶν θεραπαινίδων της, μετά ἀπό πολλάς περιπλανήσεις καί ταλαιπωρίας, ἐν τῷ Ἱερᾷ Μονῇ Ἁγίου Στεφάνου, εἰς τά Μύλασσα τῆς Μικρᾶς Ἀσίας, ἔνθα καί διῆγεν βίον εὐσεβῆ ἄχρι τέλους τῆς ζωῆς της, ὡς ξένη ἀναμέσον ξένων, ἡ πρώην Εὐσεβεία, καί ὡς οἰκεία τοῦ Θεοῦ, καί μιμουμένη Ἐκεῖνον Ὅστις ἔκλινε τούς οὐρανούς καί κατέβη εἰς τήν γῆν ἵνα ἴδωμεν τόν "Ξένον Τόκον" ἐπί γῆς.

*" Πλοῦτον καί μνηστῆρα τόν γεηρόν ἔλιπες αὐτόλμως δι' ἀγάπην τοῦ ποθεινοῦ καί σεπτοῦ Νυμφίου Θεόφρον Μῆτερ Ξένη καί βίον μονοτρόπως χαίρουσα ἤνυσας " ( Μεγαλυνάριον τῆς Ὁσίας )*

*Εὐλαβικόν ὁδοιπορικόν μου, διά τήν ὑγιείαν μου, μέ ἀγάπην Χριστοῦ καί εὐχάς, ὁ Πρόεδρος τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου καί Ἱερατικῶς Προϊστάμενος τοῦ Ἱεροῦ Ναοῦ Ὁσίας Ξένης Χαριλάου,*

*Πρωτ/ρος Δημήτριος Καταβέλος.-*

*Ἐν Θεσσαλονίκῃ τῇ 5.3.1995.-*



*Τήν φωτογραφίαν τῆς Ἱερᾶς Εἰκόνος τῆς Ὁσίας Μητρός ἡμῶν Ξένης, φιλοτεχνηθείσης τό ἔτος 1945, καί εὑρισκομένης ἐπί τοῦ ξυλογλύπτου Τέμπλου τοῦ παλαιοῦ Ἱεροῦ Ναοῦ, ἐπί τῆς ὁδοῦ Παπαναστασίου, τό ὁποῖον τέμπλον κατεσκευάσθη τό ἔτος 1993 δαπάναις εὐσεβῶν Χριστιανῶν τῆς ἐνορίας, ἀνερχομέναις εἰς τό ποσόν τῶν 5.800.000 δραχμῶν.*




*Τήν φωτογραφίαν τῆς ἐξωτερικῆς ὄψεως τοῦ παλαιοῦ Ἱεροῦ Ναοῦ τῆς Ὁσίας Ξένης, ἐπί τῆς ὁδοῦ Παπαναστασίου, ὅστις καί ἐξωραΐσθη προσφοραῖς τῶν εὐσεβῶν χριστιανῶν τῆς περιοχῆς Χαριλάου Θεσσαλονίκης, ἀνερχομέναις εἰς ποσόν ἑκατοντάδων χιλιάδων δραχμῶν.*



*Τήν φωτογραφίαν τῆς ἐξωτερικῆς ὄψεως τοῦ νέου Ἱεροῦ Ναοῦ τῆς Ὁσίας Ξένης, ἐπί τῆς ὁδοῦ Μαρασλῆ, εἰς ἥν καί ἐμφαίνονται αἱ πολλαπλαῖ ἐξωραϊστικαί καί τεχνικαί βελτιώσεις αἱ ὁποῖαι καί ἐπετελέσθησαν, ὡς ἐπίσης καί τό ἐνοριακόν πνευματικόν κέντρον τοῦ Ἱεροῦ ναοῦ, τό ὁποῖον ᾠκοδομήθη μέν τό ἔτος 1985, ἐβελτιώθη δέ ἐν συνεχείᾳ ἡ λειτουργικότης του, διά πρώτης εὐγενοῦς δωρεᾶς τῆς ἤδη ἀποβιωσάσης Χαρικλείας Ἀναχωρλῆ, ἀνερχομένης εἰς τό ποσόν τοῦ 1.600.000 δραχμῶν, τό ὁποῖον καί προῆλθεν ἐκ τῆς ἐκποιήσεως οἰκίας τῆς ἐν λόγῳ δωρητρίας, δωρηθείσης διά διαθήκης πρός τόν Ἱερόν Ναόν τό ἔτος 1985. Ἄς εἶναι αἰωνία ἡ μνήμη της !*

# Η ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΟΙ ΟΙΚΟΙ ΚΑΙ Ο ΒΙΟΣ

ΤΗΣ ΟΣΙΑΣ

# ΜΗΤΡΟΣ ΗΜΩΝ ΞΕΝΗΣ

ΠΟΛΙΟΥΧΟΥ ΤΗΣ ΠΟΛΕΩΣ ΜΥΛΑΣΩΝ ΚΑΙ ΚΑΡΙΑΣ



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΘΑΝΑΣΙΟΥ Γ. ΔΕΛΗΓΙΑΝΝΗ
Ὁδὸς Πειραιῶς—Ζήνωνος ἀριθ. 2
1906

Τῷ

Συλλόγῳ τῶν Μικρασιατῶν «τῇ Ἀνατολῇ», τῷ τῆς Ὀρθοδόξου πίστεως καὶ τῆς Ἑλληνικῆς παιδείας ἀσαλεύτῳ πύργῳ, τῷ μεγάλῳ τούτῳ τοῦ Γένους ἡμῶν καὶ τῆς ἀνθρωπότητος ὅλης εὐεργέτῃ, τὸ ἱερὸν τοῦτο βιβλίον ἀνατίθεται

ὁ ἐν Μυλάσοις τῆς Καρίας φιλανθρωπικὸς Σύλλογος,

«ἡ Ὁσία Ξένη».

# ΠΡΟΛΟΓΟΣ

*Οἱ θειότατοι ἡμῶν Πατέρες τὴν εὐσέβειαν καὶ τὰς ἀρετὰς αὐτῶν ὡς κλῆρον τῇ ἁγίᾳ Ἐκκλησίᾳ καταλιπόντες οὐκ ἐπελάθοντο καὶ τοῦ τρόπου τῆς διασώσεως τοῦ ὑπὲρ χρυσίον καὶ λίθους τιμίους τιμιωτάτου τούτου θησαυροῦ.*

*Διὸ καὶ γραφῇ παρέδωκαν ἡμῖν τοῖς αὐτῶν τέκνοις τὰ ἱερώτατα κειμήλια. Ὁ δὲ λόγος εὐνόητος, ἵνα μελετῶντες καὶ ἐντρυφῶντες ἐν τοῖς πνευματικοῖς αὐτῶν ἀγῶσι μιμώμεθα καὶ ζηλῶμεν κατὰ πάντα αὐτοὺς ἐν τῷ καθ᾽ ἡμέραν βίῳ. Ὡς δὲ ἐκεῖνοι ἐμεγαλούργησαν ἐν πάσῃ τέχνῃ καὶ ἐπιστήμῃ καὶ ἰδίως ἐν τῇ ἁγιωτάτῃ ἡμῶν θρησκείᾳ ἀναδειχθέντες πατέρες καὶ διδάσκαλοι τῆς ἀνθρωπότητος ὅλης, οὕτω καὶ ἡμεῖς στοιχοῦντες τοῖς ἴχνεσιν αὐτῶν καὶ τὰς πράξεις αὐτῶν ὡς γνώμονα καὶ κανόνα τοῦ βίου ἡμῶν τιθέμενοι θὰ συνεχίσωμεν τὸ μέγα καὶ ἐκπολιτιστικὸν ἔργον συντελεσταὶ γινόμενοι καὶ δεξιοὶ παράγοντες τοῦ πολιτισμοῦ, ὑπὲρ οὗ σήμερον πάντα τὰ Χριστιανικὰ ἔθνη τὸν κρατερὸν τοῦ πνεύματος ἀγωνίζονται ἀγῶνα. Οὐδαμῶς δ᾽ ἀποδειλιῶντες καὶ ἀποθαῤῥυνόμενοι ἐκ τῶν πρώτων ἀτυχιῶν, ἀλλ᾽ εἰς τὴν ἔκβασιν τὴν καλὴν ἐνατενίζοντες ἀνατρέχωμεν ἐπὶ τὸ στάδιον τοῦ εὐγενοῦς ἀγῶνος, καὶ τὰς καλὰς ἐλπίδας τῷ μόνῳ Ἀγωνοθέτῃ καὶ τοὺς στεφάνους τῆς νίκης δωρουμένῳ οὐρανίῳ ἡμῶν Πατρὶ ἀνα-*

τιθέμενοι. Βέβαιοι ὅμως, ὅτι νικηταὶ καὶ τροπαιοῦχοι θὰ ἐξέλθωμεν τοῦ πολέμου τῆς σαρκὸς καὶ τῶν παθῶν τοὺς ἀμαράντους στεφάνους ὡς γέρα τῆς νίκης κομιζόμενοι ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως.

Ὁ ἡμ. φιλανθρωπικὸς Σύλλογος, «ἡ Ὁσία Ξένη», ὡς σκοπὸν ἑαυτοῦ θέμενος ἀφ᾽ ἑνὸς μὲν τὴν ἀναζωπύρησιν τῆς εὐσεβείας καὶ τῆς δι᾽ αὐτῆς πνευματικῆς καὶ ἠθικῆς διαπαιδαγωγήσεως τῶν νέων, μεγάλην οὕτω τῇ ἱερᾷ τῆς Ὁσίας Ξένης Ἐκκλησίᾳ παρεχόμενος ἀρωγὴν διὰ τῆς ἐξασφαλίσεως πόρων ἐπαρκῶν καὶ σταθερῶν εἰς τὸ μέγα καὶ ὑψηλὸν Αὐτῆς ὑπούργημα, ἀφ᾽ ἑτέρου δὲ τὴν παροχὴν καὶ χορηγίαν τῆς φιλανθρωπίας τοῖς ἀπόροις καὶ πτωχοῖς προέβη ἐπὶ χρησταῖς ταῖς ἐλπίσιν εἰς τὴν ἐκτύπωσιν τοῦ παρόντος βιβλίου. Διὰ τῆς ἐκτυπώσεως ταύτης ἀμφότεροι οἱ σκοποὶ τοῦ Συλλόγου πληροῦνταί, διότι διὰ μὲν τῆς ἀγορᾶς τοῦ βιβλίου πληροῦται ὁ σκοπὸς τῆς φιλανθρωπίας καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης διὰ δὲ τῆς μελέτης ῥυθμίζεται ὁ βίος τοῦ Χριστιανοῦ, καθ᾽ ἃ ὑπαγορεύει ἡμῖν ὁ θεῖος Νόμος τοῦ ἱεροῦ Εὐαγγελίου.

Τὰ κείμενα ἀμφοτέρων τῶν βίων τῆς Ὁσίας Μητρὸς ἡμῶν Ξένης ὁ ἡμ. Σύλλογος ἀντέγραψεν ἐξ ἀρχαιοτάτων κωδίκων τῆς Πατμιακῆς Βιβλιοθήκης καὶ τῶν ἐπισημοτάτων βιβλιοθηκῶν τοῦ Ἁγίου Ὄρους, τῶν Βασιλικῶν Μονῶν τῆς Μεγίστης Λαύρας καὶ τοῦ ἁγ. Διονυσίου. Ἔγραψεν ἐπισήμως εἰς τὰς εὐαγεῖς ταύτας Μονὰς πρὸς τοὺς ἁγίους Καθηγουμένους καὶ Προϊσταμένους, οἵτινες ἀνέθεντο τὴν ἀντιγραφὴν εἰς ἀκριβεῖς γνώστας τῆς Παλαιογραφίας, οἵτινες μετ᾽ ἄκρας προσοχῆς καὶ πιστῆς ἀκριβείας ἀντέγραψαν τὰ κείμενα

*ταῦτα. Εὐχαριστίας μεγάλας ὀφείλει ὁ ἡμ. Σύλλογος τοῖς ἁγίοις Καθηγουμένοις τῶν Βασιλικῶν ἱερῶν Μονῶν τῆς Σιμωνοπέτρας, τοῦ ἁγ. Διονυσίου καὶ τοῦ ἐν Πάτμῳ ἁγ. Ἰωάννου τοῦ Θεολόγου, ὡς καὶ τῷ πανοσιολογιωτάτῳ καὶ μουσολάτρῃ κ. κ. Χρυσοστόμῳ Λαυριώτῃ, Προϊσταμένῳ τῆς Μεγίστης Λαύρας καὶ τῷ ἐν μοναχοῖς ὁσιολογιωτάτῳ κ. Ἱερωνύμῳ τῷ Σιμωνοπετρίτῃ τῷ πιστῷ ἀντιγραφεῖ τῶν βίων τῆς Ὁσίας ἐκ τοῦ Λαυρεωτ. καὶ τοῦ Διονυσιακοῦ Κώδικος.*

*Καὶ ὁ μὲν βίος ἐκ τοῦ Λαυρεωτ. Κώδικος εἶνε ἀρχαιότατος, ὡς ἀποδεικνύεται ἐκ τῆς πλοκῆς καὶ τῆς συνθέσεως τοῦ λόγου καὶ τῆς περὶ οὐρανίων σωμάτων θεωρίας, τῆς ἐν ἀρχῇ παρομοιώσεως τῶν ἁγίων πρὸς τοὺς ἀστέρας, ἰδίᾳ δὲ ἐκ τοῦ χωρίου «Μέγα τοίνυν ὡς ἀληθῶς καὶ ἐν τοῖς χρόνοις ἡμῶν μυστήριον . . . . . παραδοῦναι». Ὁ δὲ τοῦ Διονυσιακοῦ Κώδικος καὶ τοῦ τῆς Πατμιακῆς Βιβλιοθήκης εἶνε νεώτεροί πως. Εἶνε δὲ πανόμοιοι μετά τινων μικρῶν ἐπουσιωδῶν παραλλαγῶν. Οἱ 24 οἶκοι καὶ ὁ κανὼν τῆς Ὁσίας, ἀμφότερα ταῦτα ἐξ ἁγίου Ὄρους ἀπεστάλησαν. Εὐχαριστίας θερμὰς ἀπονέμει ὁ ἡμ. Σύλλογος εἰς τὸν πανοσιολογιώτατον κ. Θεόφιλον Ξηροποταμηνόν, εἰς ὃν ὁ ἡμ. Σύλλογος ἀνέθετο τὸ δυσχερὲς ἔργον τῆς εὑρέσεως καὶ ἀντιγραφῆς τοιούτων ἔργων. Πάνυ προθύμως ἀναδιφήσας τὰς διαφόρους τῶν εὐαγῶν μονῶν τοῦ ἁγ. Ὄρους βιβλιοθήκας ὁ εἰρημένος ἀνήρ, ἵνα εὕρῃ βιογραφίας τῆς Ὁσίας Μητρὸς ἡμῶν Ξένης, ἀνεῦρε πλὴν αὐτῶν καὶ χαιρετισμοὺς (24 οἴκους) καὶ κανόνα τῆς Ὁσίας Ξένης, ἔργα περισπούδαστα γεγραμμένα ἐπὶ μεμβράνης, ἥτις ὡς ἐκ τῆς ἀρχαιότητος ἦν ἡμίβρωτος. Ταῦτα δὲ πιστῶς καὶ ἀκριβῶς ἀντιγράψας ὡς ἔμπειρος καὶ ἀκριβὴς γνώστης τῆς Παλαιο*

*γραφίας ἀπέστειλε τῷ ἡμ. Συλλόγῳ. Καὶ ταῦτα μὲν περὶ τῶν βίων, τῶν χαιρετισμῶν καὶ τῶν κανόνων τῆς Ὁσίας.*

*Τὴν δὲ ἱερὰν ἀκολουθίαν τῆς Ὁσίας ἀντέγραψεν ὁ ἡμ. Σύλλογος ἐκ τοῦ μηναίου ἐρανισθεὶς καὶ συμπληρώσας αὐτὴν ἐξ ἑτέρων εἰς ὁσίας Μητέρας ἀφιερωμένων, καὶ πλουτίσας διὰ νέων ᾀσμάτων ἐπὶ τῇ βάσει τῶν βίων καὶ τῶν χαιρετισμῶν τῆς Ὁσίας, ἐν σχέσει πρὸς τὴν μεγαλόπολιν Ῥώμην, τὴν πατρίδα τῆς γεννήσεως τῆς Ὁσίας, πρὸς τὴν πόλιν τῶν Μυλάσων, τὴν πατρίδα τῆς ἀσκήσεως, ἧς εἶνε καὶ πολιοῦχος, πρὸς τὴν χώραν τῆς Καρίας, ἧς ἄγρυπνος φύλαξ τυγχάνει ἡ Ὁσία, καὶ τὴν πόλιν τῆς Σηλυβρίας, ἥτις κατέχει τὸ ἅγιον καὶ μυροβόλον Αὐτῆς λείψανον ὡς θησαυρὸν πολυτίμητον καὶ τεῖχος ἄρρηκτον κατὰ πάσης ἐπιβουλῆς παντὸς ὁρατοῦ καὶ ἀοράτου ἐχθροῦ.*

*Ἀμφότεροι οἱ βίοι τῆς Ὁσίας συνεγράφησαν, ὅτε ἀκόμη τὸ ἱερὸν τῆς Ὁσίας λείψανον ἐκόσμει τὴν πόλιν ταύτην, διότι οὐδαμοῦ τῶν βίων εὑρίσκομεν, πῶς τὸ ἱερὸν τοῦτο σκῆνος κατήντησεν εἰς τὴν πόλιν τῆς Σηλυβρίας. Δὲν εὕρομεν δὲ ἕτερον ἱστορικόν τι μνημεῖον ἀναφέρον, πότε καὶ πῶς μετεκομίσθη εἰς τὴν πόλιν ἐκείνην, τίς ἡ ἀληθὴς αἰτία τῆς μετακομιδῆς καὶ ἐν γένει συμπληροῦν τοὺς δύο προηγουμένους βίους. Παράδοσις δὲ ἐν Σηλυβρίᾳ διασωθεῖσα παρὰ τοῖς εὐσεβέσι κατοίκοις τῆς πόλεως ἐκείνης μαρτυρεῖ, ὅτι ἐν χρόνοις χαλεποῖς πλοῖον ἐκ Κωνσταντινουπόλεως λαβὸν αὐτὸ μετὰ τῆς λάρνακος μετεκόμιζεν εἰς Κωνσταντινούπολιν, ἀλλὰ κατὰ τὸν πλοῦν ναυαγῆσαν εἰς τὸ μέρος τῆς Σηλυβρίας, παρέδωκε τὴν λάρνακα μετὰ τοῦ θείου λειψάνου εἰς τὴν κυματόεσσαν θάλλασαν, ἧς τὰ κύματα ὡδήγησαν θείᾳ βουλῇ εἰς τὴν παρα-*

λίαν τῆς πόλεως ἐκείνης. Οἱ δὲ εὐσεβεῖς τῆς πόλεως κάτοικοι ἰδόντες μακρόθεν τὴν λάρνακα ἐπιπλέουσαν καὶ ἐρχομένην εὐθὺ τῆς πόλεως, κατέβησαν εἰς τὴν παραλίαν, ἵνα ὑποδέξωνται αὐτήν.

Λαβόντες δὲ τὴν λάρνακα καὶ ἀνοίξαντες εὗρον τὸν ὑπέρτιμον θησαυρὸν κατατεθειμένον ἀκέραιον καὶ ἀλώβητον μετὰ πάροδον αἰώνων. Τὴν λάρνακα μετὰ τοῦ ἁγίου λειψάνου ἐναπεθησαύρισαν ἐν τῇ ἑαυτῶν πόλει, νῦν δ' εὑρίσκεται ἐναποτεθειμένον ἐν τῷ Μητροπολιτικῷ ναῷ τῶν Γενεθλίων τῆς Θεοτόκου ἐν δεξιᾷ τῷ εἰσιόντι κάτωθεν τῆς σεβασμίας εἰκόνος τῆς Ὁσίας. Τὸ ἱερὸν λείψανον σώζεται ἔτι καὶ νῦν σχεδὸν ἀκέραιον ἐκτὸς μιᾶς πλευρᾶς κοσμούσης τὸν ἱερὸν ναὸν τῆς Θεοτόκου τῶν Βλαχερνῶν, καὶ τῆς δωρεᾶς τοῦ μέρους, ὅπερ νῦν κοσμεῖ τὴν ἱερὰν Ἐκκλησίαν ἡμῶν καὶ πᾶσαν τὴν Καρίαν. Φέρει δ' ἐν πολλοῖς δέρμα καὶ σάρκα. Ἐπίσης φέρει καὶ τὸ ἀσκητικὸν Αὐτῆς περίβλημα ὑπόμελαν χρῶμα ἔχον. Καὶ τὰ δύο δὲ πέδιλα εἰσέτι σώζονται καινουργῆ. Σώζεται δὲ καὶ βάμβαξ μετὰ λινοῦ, καὶ δύο ἠλακάται, δι' ὧν ἔνηθεν ἡ Ὁσία. Ἀλλ' ἡ θεία ἐκείνη καὶ ἀποπνέουσα ἐκ τοῦ ἀσκητικοῦ τῆς Ὁσίας λειψάνου ὀσμὴ εἶνε θαυμαστὸν κτῆμα. Εἶνε τρανοτάτη ἀπόδειξις καὶ τεκμήριον τῆς ἁγιότητος καὶ ταμεῖον τῶν θείων τοῦ ἁγ. Πνεύματος χαρισμάτων. Πῶς δ' ἐκ τοῦ ὑπερτίμου τούτου θησαυροῦ ἠξιώθη ἡ ἡμ. Ἱερὰ Ἐκκλησία νὰ λάβῃ μέρος, τοῦτο εἶνε ἔργον τῆς Θείας Προνοίας, ἥτις ἔστεψε μετὰ πλήρους ἐπιτυχίας τοὺς ἀγῶνας ἡμῶν οἰκονομήσασα καὶ διευθετήσασα ἐν τῇ ἀπείρῳ Αὐτῆς φιλανθρωπίᾳ τὸ πρᾶγμα. Ἐὰν μὴ ἡ θεία Πρόνοια ἐφώτιζε τὰς διανοίας τῶν ἀνθρώπων καὶ ἡ τῆς Ὁσίας μεσιτεία, ματαία θ' ἀπέβαινε πᾶσα ἡμῶν

*δρᾶσις καὶ ἐνέργεια περὶ τοῦ ζητήματος τούτου. «Διότι οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος Θεοῦ». Ἀλλ' ἐχέτω δόξαν ἡ ἄπειρος φιλανθρωπία τοῦ Σωτῆρος ἡμῶν εὐδοκήσασα καὶ εἰς αἴσιον πέρας ἐνεγκοῦσα καὶ πληρώσασα τὸ ἱερὸν ἡμῶν ὄνειρον, ἵνα ἀπολαύσωμεν τοῦ ἀληθοῦς θησαυροῦ, ὃς ἐπὶ τοσαῦτα ἔτη ἦν κεκρυμμένος καὶ ἄγνωστος ἡμῖν. Ἐχέτω δόξαν καὶ ἡ χάρις τῆς Ὁσίας Μητρὸς ἡμῶν Ξένης, ἥτις ἐκτιμῶσα καὶ ἀγαπῶσα ἡμᾶς,τοὺς ἑαυτῆς ἀναξίους δούλους ηὐδόκησε μετὰ τοσαῦτα ἔτη καὶ ἤδη νὰ ἐπιστρέψῃ εἰς τὴν ἑαυτῆς πόλιν, ἣν ὡς ἐργαστήριον ἁγιότητος κατεσκεύασεν, ἐν ᾧ τὴν ἑαυτῆς ψυχὴν καθαρὰν καὶ ἄμωμον καὶ παντὸς λίθου τιμίου μᾶλλον ἀποστίλβουσαν ἀπέδειξε, καὶ ὡς ἁγιαστήριον, ἐνῷ πολλαὶ παρθένοι Αὐτῇ ἠκολούθησαν εὐαγγελικῶς πολιτευσάμεναι. Εἴη δὲ καὶ τὸ ὄνομα ἐκείνων, ὅσοι συνεβάλοντο ὑπὲρ τῆς εὐοδώσεως τοῦ ζητήματος τούτου, εὐλογητὸν καὶ μακάριον, ἡ δὲ δόξα αὐτῶν ἀγήρως καὶ ἄληστος, ἐπειδὴ ἐγένοντο ἡμῖν τε καὶ τοῖς ἐξ ἡμῶν μέγιστοι εὐεργέται καὶ συνεργοὶ ψυχῶν σωτηρίας.*

*Ἐν Μυλάσοις τῆς Καρίας, τῇ 2ᾳ Ἀπριλίου, ἡμέρᾳ λαμπρᾷ καὶ σωτηρίῳ τοῦ Πάσχα, 1906.*

*Ἐκ τοῦ Δ. Συμβουλίου τοῦ Φ. Συλλόγου,*
*«ἡ Ὁσία Ξένη».*

| Ὁ Πρόεδρος | ὁ Ταμίας | ὁ Γραμματεὺς |
|---|---|---|
| **Ἰω. Α. Κουκούλης** | **Ν. Κ. Σταματίου** | **Ἠ. Κ. Μεταξᾶς.** |

Οἱ Σύμβουλοι

**Ἰωάν. Μανουσάκης.**
**Π. Ν. Σιφωνιός.**
**Σταμ. Κούζου.**
**Στεφ. Μιχαήλ.**

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.*

Εἰς τὸ Κύριε ἐκέκραξα, μετὰ τὴν Α΄. στιχολογίαν τοῦ Μακάριος ἀνὴρ ἱστῶμεν στίχ. η΄. δευτεροῦντες τὸ πρῶτον, καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος Α΄.

*Τῶν οὐρανίων ταγμάτων.*

Μεταναστεύουσα πρώην τῇ διαθέσει Σεμνή, καὶ βεβαιοῦσα ἔργῳ τὸ κριθέν Σοι ἐννοίᾳ ἐξῆλθες τῆς ματαίας τῶν ἡδονῶν, Μακαρία λειότητος καὶ ἀρετῶν τῇ τραχείᾳ εὐθυδρομεῖς, ἀναβάσει ξενιτεύσασα. (Δίς).

Ἐν τῷ λιμένι τοῦ θείου προσορμισθεῖσα ἰσθμοῦ, διαπερᾷς κυμάτων τῶν τοῦ κόσμου τὸν σάλον· ψυχῆς δέ Σου τὸ πλοῖον ὅλον, Σεμνή, ἀδιάκλυστον φέρουσα, ἐξ ἡδονῶν τῆς πικρίας τῶν μυστικῶν ἀγωγίμων μένεις ἔμπλεως.

Θεοπρεπεῖ τῇ μιμήσει Σὺ ξενιτεύσασα τοῦ δι᾽ ἡμᾶς ἐξ ἄνω πρὸς ἡμᾶς κατελθόντος, ὑψῶσαι τοὺς πεσόντας, μένεις Σοφή, συγγενέσι μὲν ἄγνωστος, ἀλλ᾽ εὐσεβέσι γνωστή, ὡς πρὸς τὸν Θεὸν, Ξένη, πάντοτε πρεσβεύουσα.

*Ἕτερα Δ΄. Ὡς Γενναῖον ἐν Μάρτυσιν. Ἦχος δ΄.*

Τὴν ἀμνάδα τιμήσωμεν, τὴν Χριστοῦ καλλιπάρθενον, ἡμῶν τὸ στερέωμα καὶ τὸ στήριγμα, τῆς παρθενίας κειμήλιον, τὴν Ξένην τὴν πάνσοφον, ἀρετῶν ὑπογραμμὸν καὶ θεόπνευστον κήρυκα καὶ συνόμιλον τῶν ἀγγέλων φαιδραῖς χοροστασίαις καὶ τῆς ἄνω βασιλείας ἱερομύστην πανάριστον.

Ἐκ δυσμῶν ἀνατέταλκας ὡς ἀστὴρ φαεινότατος καὶ ἡμᾶς αὐγάζεις τοῖς Σοῖς χαρίσμασι, καὶ τὸν ἀρχέκακον δράκοντα

*) Ἡ μνήμη τῆς ὁσίας Ξένης τελεῖται τῇ 24ῃ Ἰανουαρίου

δεινῶς ἐτραυμάτισας τῇ δυνάμει τοῦ Σταυροῦ καὶ τὸν στέφανον εἴληφας τῆς ἀσκήσεως καὶ θαυμάτων τὴν χάριν δαψιλεύεις τοῖς νοσοῦσι καὶ πρεσβεύεις πλημμελημάτων συγχώρησιν.

Μυλασέων τὸ καύχημα καὶ Καρίας ἀγλάϊσμα, ρώμης τε τὸ βλάστημα Σηλυβρίας δὲ τὸ ἱερώτατον κόσμημα, τὴν κόρην τὴν ἄμωμον τὴν παρθένον τοῦ Χριστοῦ, εὐσεβείας ἀήττητον ἀντιλήπτορα, κιβωτόν τε τῶν θείων χαρισμάτων πολιοῦχον καὶ μητέρα Ξένην τὴν θείαν τιμήσωμεν.

Τὴν σωρὸν τῶν λειψάνων Σου τὴν τὰ μύρα πηγάζουσαν ἀφθαρσίας νάματα καὶ προχέουσαν τοῖς εὐσεβῶς προσιοῦσί Σοι ἀπείρων ἰάσεων καὶ χαρίτων δαψιλῶς, προσκυνοῦμεν καὶ σέβομεν εὐφημοῦντές Σε, χαῖρε Μῆτερ ἡμῶν ὁσία Ξένη ἀθλοφόρων καὶ ὁσίων καὶ τῶν ἀγγέλων ὁμόσκηνε.

*Δόξα Ἦχος Β΄.*

Ταῖς καλλοναῖς τῶν ἀρετῶν ἐλλαμφθεῖσα Πανόλβιε, καὶ τῷ ὕψει τῆς εὐσεβείας πτερουμένη φερώνυμε εἰς οὐρανίους σκηνάς, κατέλιπες πατρίδα, γεννήτορας πλοῦτον καὶ δόξαν. Καὶ τῷ θείῳ ἔρωτι τῷ νυμφίῳ Χριστῷ ὅλην ἐκδεδωκυῖα, γεηρὸν νυμφίον διέλαθες. Ὅθεν εἰς τὴν ξένην ὡς Ξένη ξενοτρόπως ξενιτεύσασα, καὶ τοῖς ἱδρῶσι τῶν καμάτων ὄφιν τὸν πολυμήχανον δήσασα, ἄτρωτον σεαυτὴν διεφύλαξας. Διὸ καὶ τὰ Μύλασα σήμερον φαιδρύνεται τοὺς Σοὺς ἀγῶνας ὡς γέρα καρπούμενα καὶ τὴν θήκην τῶν λειψάνων ὡς θησαυρὸν πολυτίμητον κεκτημένη ἡ πόλις Σου ἀγάλλεται. Πρέσβευε σὺν ταῖς δυσὶ θεραπαινίσι καὶ Παύλῳ τῷ θεοσόφῳ καὶ πρύτανι ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες καὶ Παρθένος ἔμεινας. Ἀντὶ στύλου πυρὸς δικαιοσύνης ἀνέτειλεν

Ἥλιος. Ἀντὶ Μωϋσέως Χριστός, ἡ Σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος. τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς Αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ

εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, και ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε νῦν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς Αὐτοῦ.

*Εἰς τὴν Λιτὴν ψάλλομεν στιχηρὰ ἰδιόμελα. Ἦχος α'.*

Δεῦτε πιστοί, τὴν καλλιπάρθενον καὶ ἄσπιλον Νύμφην, τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ, ὕμνοις ἐγκωμίων εὐφημήσωμεν· Αὕτη γὰρ τὸν Σταυρὸν Αὐτῆς ἐπ' ὤμων ἄρασα, τὰ ἴδια κατέλιπε. Καὶ ὡς ἔλαφος διψῶσα ἀθανάτου μνηστῆρος, κατ' ἴχνος ἠκολούθησε, ξένην ἐννοήσασα ζωὴν ἐν οὐρανοῖς τὴν μέ-

νουσαν· καὶ πρεσβεύει ἀπαύστως ὑπὲρ ὑμῶν τῷ Σωτῆρι καὶ Θεῷ, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

## *Ἦχος Γ'.*

Ἡ Ῥώμη ἐγκαυχᾶται Σοῦ τοῖς σπαργάνοις, Ὁσία Ξένη ἀξιάγαστε· τὰ δὲ Μύλασα τὸ Σὸν κεκτημένα πανσέβαστον λείψανον ποταμοὺς ἐμπιπλῶνται ἰαμάτων. Διὸ καὶ οἱ πιστοὶ συνελθόντες σήμερον ἐν τῇ μνήμῃ Σου ἐπαξίως γεραίρομεν τῶν σῶν ἀγώνων τὰ ἔπαθλα, δι' ὧν ἐτροπώσω τὸν ἀρχέκακον ἐχθρόν, μοναζουσῶν τὸ κλέος καὶ τῶν παρθένων καύχημα, θεοφόρε Ξένη.

## *Ἦχος Δ'*

Τὸ τοῦ νυμφίου Σου Χριστοῦ ἐράσμιον κάλλος ἐπιποθήσασα, Ὁσία Ξένη Σεμνή, ἀνέδραμες ὀπίσω Αὐτοῦ καθάπερ τρυγὼν ὡραιοτάτη, ἀρνησαμένη πᾶσαν κοσμικὴν ἀπάτην καὶ σαρκικὸν μνηστῆρα, ἐν σκληραγωγίᾳ καὶ ἀσκήσει τῆς σαρκὸς τὸ φρόνημα ἀπενέκρωσας. Διὸ καὶ ὁ Χριστὸς ἐν τῇ σεπτῇ Σου κοιμήσει οὐρανόθεν Σοι ἠμείψατο τὸν στέφανον, δι' ἀστέρων φαιδρῶν δεικνύων τοῖς πᾶσι τῶν ἀρετῶν Σου τὴν λαμπρότητα. Δι' ὧν ἐκέκτησο κεχρυσωμένας πτέρυγας, πρὸς οὐρανὸν ἀνιπταμένη, ὡς περιστερὰ ἀδιάφθορος· πρεσβεύουσα ἀπαύστως ὑπὲρ ἡμῶν πρὸς Κύριον.

## *Ἦχος πλ. α'.*

Δεῦτε πάντες οἱ γηγενεῖς ἐγκωμίων ἄνθεσι καταστέψωμεν Χριστοῦ ὁσίαν Ξένην τὴν πάντιμον, καὶ οὕτω βοήσωμεν· χαίροις καλλιπάρθενε Κόρη καὶ ἀξιάγαστε, ὅτι κατεπάτησας τοῦ Βελίαρ τὴν δύναμιν, καὶ παρίστασαι δαφνηφόρος εἰς τὰς αὐλὰς τοῦ Κυρίου Σου, πρεσβεύουσα ἀεὶ ὑπὲρ τῶν εὐφημούντων Σε.

*Δόξα. Ἦχος πλ. δ'.*

Τὴν τῶν παρθένων καλλονήν, μοναζουσῶν τὸ κλέος, ἀσκητριῶν τὴν εὐπρέπειαν, Μυλασέων τὸ καύχημα, Ξένην τὴν ἀξιέπαινον, δεῦτε πιστοὶ ἀνευφημήσωμεν, ὕμνοις ἐπαξίοις τὴν μνήμην Αὐτῆς πανηγυρίζοντες· Αὕτη γὰρ ὑπάρχει φύλαξ καὶ προπύργιον ἡμῶν, ῥυομένη ἡμᾶς ἀπὸ πάσης ζάλης καὶ τρικυμίας τῶν παθῶν καὶ ἀεὶ πρεσβεύει Χριστῷ τῷ Θεῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν, ὁ αὐτός. Δέσποινα πρόσδεξαι. . . .*

*Εἰς τὸν στίχον. Στιχηρὰ προσόμοια.*

*Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.*

Χαίροις τῆς ἀρετῆς ὁ κανών, τῆς εὐσεβείας τὸ εὐῶδες κειμήλιον, Μυλάσων ἡ θεία δόξα, καὶ τῆς Καρίας φωστήρ, καὶ τῆς Σηλυβρίας ἀγαλλίαμα· παρθένων τὸ κλέος, καὶ ἀσκητῶν ἡ εὐπρέπεια, Ἐκκλησίας τε καὶ τῆς πίστεως στήριγμα· Ξένη ἡ παμμακάριστος, δαιμόνων τὸ φρύαγμα καὶ τῶν ὁσίων τὸ κλέος καὶ ἀθλητῶν ἐγκαλλώπισμα· πηγὴ σωτηρίας τοῖς τιμῶσί Σου τὴν μνήμην καί ἀνυμνοῦσί Σε.

*Τίμιος ἐναντίον Κυρίου . . . .*

Παύλῳ τῷ θεοσόφῳ σοφῶς, θείᾳ προνοίᾳ ἠκολούθησας πάνσεμνε, καὶ τούτου τὰς εἰσηγήσεις καὶ τὰς ἐνθέους βουλὰς ἐν τῇ Σῇ καρδίᾳ ἐθησαύρισας. Τὴν γῆν τῶν Μυλάσων, ταῖς ἀρεταῖς κατελάμπρυνας, καὶ τοῖς δάκρυσι τὴν ψυχὴν καθηγίασας. Ὅθεν τὴν θείαν μνήμην Σου φαιδρῶς ἑορτάζοντες καὶ τῶν λειψάνων τὴν θήκην περιχαρῶς ἀσπαζόμεθα. Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις ἡ νοητὴ χελιδών, τὸ θεῖον ἔαρ τῶν ψυχῶν μελῳ-

δήσασα, νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς συνεχῶς, ἰαμάτων ῥεῖθρα ἀναβλύζουσα· ψυχῶν καὶ σωμάτων ἀρρωστίας διώκουσα καὶ ἰωμένη τῇ δυνάμει τοῦ Πνεύματος. Μέμνησο καὶ τῶν δούλων Σου, καὶ δὸς ἡμῖν ἄνεσιν, λύσιν κακῶν καὶ κινδύνων καὶ πειρασμῶν ἀπομάκρυνσιν, παρθένων ἡ δόξα ἀσκητῶν τε καὶ ὁσίων τὸ ἐγκαλλώπισμα.

*Δόξα· ἦχος πλ. Δ΄.*

Σήμερον ἐπεφάνη ἡμῖν ἡ Σεπτή Σου μνήμη, Μῆτερ ἡμῶν ἀξιάγαστε κόρη, Ὁσία Ξένη· Σὺ γὰρ ὤφθης ἡμῖν κανὼν ἀρετῆς ἀκριβέστατος, καταλιποῦσα πατρίδα, γεννήτορας καὶ δόξαν ἐπίκηρον διὰ τὴν ὄντως ζωήν· εὐαγγελικῶς κατηκολούθησας Χριστῷ τῷ Θεῷ· ᾧ καὶ ἐκ νεότητος ἐπόθεις συναυλίζεσθαι. Καὶ νῦν περιπολεύουσα ἐν οὐρανῷ, πρέσβευε σὺν ταῖς δυσὶ θεραπαινίσι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν· ὁ αὐτός· Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων. Νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Ἀπολυτίκιον. Τὸν Συνάναρχον λόγον. Ἦχος πλ. α΄.*

Τὴν ἀμνάδα Κυρίου καὶ καλλιπάρθενον, τὴν ὁσίαν τὴν Ξένην τὴν πολιοῦχον ἡμῶν, καὶ ἀγγέλοις ὁμοδίαιτον ὑμνήσωμεν, τὴν τοῦ κόσμου τὰ τερπνὰ καὶ τήνδε πρόσκαιρον ζωήν, ὡς ὄναρ λογισαμένην, ὑπὲρ ἡμῶν δὲ Κυρίῳ ἀδιαλείπτως πρεσβεύουσαν.

*Ἕτερον. Τοῦ λίθου σφραγισθέντος. Ἦχος α΄.*

Τῆς Ῥώμης τὸ θρέμμα, τῶν Μυλάσων τὸ κόσμημα, τῆς Καρίας ἁπάσης καὶ Σηλυβρίας ἀγλάϊσμα· τὴν Ξένην τιμήσωμεν ᾠδαῖς καὶ ᾄσμασιν ὑμνήσωμεν πιστῶς. Διὰ τοῦτο ἀθροισθέντες ἐν τῷ Ναῷ βοῶμέν Σοι, Θεοφόρε· δόξα τῷ Σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ Σὲ στεφανώσαντι, δόξα τῷ ἀξιώσαντι ἡμᾶς πλουτεῖν Σε, Πάνσεμνε.

Θεοτοκίον. Τοῦ Γαβριὴλ.......

# ΟΡΘΡΟΣ.

## Καθίσματα τοῦ ὄρθρου.

*Ὁ ὑψωθείς. Ἦχος δ΄.*

Τῇ Θεοφόρῳ οἱ πιστοὶ νῦν προσέλθωμεν οἱ ἐμπεσόντες τοῖς κακοῖς καὶ βοήσωμεν ἐν ἐπιστρόφῳ λέγοντες καρδίᾳ πιστῶς πρόφθασον, βοήθησον θεομύριστε Ξένη, τάχυνον ἐκλύτρωσαι ἐκ παντοίων κινδύνων, καὶ εἰρηναίαν δώρησαι ζωήν· τὴν Σὴν γὰρ σκέπην βεβαίαν κεκτήμεθα.

*Δόξα καὶ Νῦν. Θεοτοκίον. Ὁ αὐτός.*

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς. Σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

*Εἰς τὴν Β΄. στιχολογίαν. Κάθισμα. Ὁ ὑψωθείς.*

Πεποικιλμένη καλλοναῖς Σῶν ἀγώνων καὶ λαμπομένη ταῖς αὐγαῖς τῶν θαυμάτων, κύκλῳ νῦν παρίστασαι τῷ Παντάνακτος θρόνῳ. Ὅθεν ἱκετεύουσα μὴ ἐλλίπῃς, Ὁσία, ὑπὲρ ἀχρείων

δούλων Σου τῶν ἐκ πόθου τελούντων, καὶ εὐφημούντων Σου τὴν ἱερὰν καὶ φωτοφόρον πανήγυριν, ἔνδοξε.

*Δόξα καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους, οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα Γ'. Τὸν τάφον Σου. Ἦχος α'.*

Εὐφραίνεται λαμπρῶς Μυλασέων ἡ πόλις, κατέχουσα τὸ Σὸν καλλιπάρθενε σῶμα, καὶ πόθῳ ἑορτάζει Σου τὴν πανέορτον κοίμησιν, ἣν περίσωζε ἐκ πειρασμῶν καὶ κινδύνων ταῖς πρεσβείαις Σου, ὁσία Ξένη, ὁσίων Μητέρων τὸ καύχημα.

*Δόξα καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.*

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων· Σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία καὶ σώζεις τοὺς δούλους Σου.

*Ἀντίφωνον Δ'. ἦχου. Προκείμενον.*

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Πᾶσα πνοή. Εὐαγγέλιον τῶν 10 παρθένων. Μετὰ τὸν Ν'. Δόξα. Ταῖς τῆς Θεοφόρου . . . . Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός . . . .

*Ἦχος Β'.*

Ἡ ἐκ ψυχῆς τὸν Θεὸν ἀγαπήσασα καὶ πάντα πλοῦτον κα-

ταλιποῦσα, καὶ νῦν ἐν ὑψίστοις ἀγαλλομένη καὶ περιχορεύουσα τῷ θρόνῳ τοῦ Θεοῦ, αἴτησαι καὶ ἡμῖν τὸν ἐλεήμονα Θεὸν δωρηθῆναι τὸ μέγα ἔλεος.

Εἶτα, σῶσον ὁ Θεὸς τὸν λαόν Σου. Μετὰ τὸ ἐλέει καὶ οἰκτιρμοῖς, ὁ Κανὼν τῆς Θεοτόκου καὶ ὁ Κανὼν τῆς Ὁσίας, οὗ ἡ ἀκροστιχίς. *Δέχου δέησιν Σῶν οἰκετῶν ὦ Μῆτερ.*

*Ἁρματηλάτην Φαραώ. Ἦχος πλ. δ΄.*

*Ὁ στίχος. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Διὰ παντοίων πειρασμῶν καὶ θλίψεων τὸν τῆς ζωῆς Σου καιρὸν διελθοῦσα, Ξένη, ἐπὶ γῆς κατήντησας εἰς πλάτος τὸ μακάριον καὶ οὐράνιον, ἔνθα χοροὶ ἀγάλλονται, ᾆσμα τῷ Θεῷ ἀναμέλποντες.

Ἐπὶ ὑδάτων εὐσεβοῦς ἀσκήσεως πεφυτευθεῖσα καλῶς τρόποις εὐσεβείας σεαυτὴν ἐκόσμησας. Ὅθεν ἐπὶ ὑδάτων με ἁμαρτίας ἑστῶτα καὶ κινδυνεύοντα σῶσόν με τῇ πρὸς τὸν Θεὸν μεσιτείᾳ Σου.

*Δόξα.*

Χαριτωθεῖσα ταῖς ἐνθέοις πράξεσι θείων χαρίτων ἡμῶν τὰς καρδίας πάντων ἔμπλησον πρεσβείαις Σου. Ἀμαυρωθέντες πάθεσι καὶ κακῶν ἁμαρτίαις καὶ τῷ βυθῷ ὀλισθήσαντες νῦν προσπεφευγότες δεόμεθα.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσω τοῦ βοᾶν τρανότατα τὰ μεγαλεῖα τὰ Σά εἰμὴ γὰρ Σὺ Κόρη πάντοτε προΐστασο ὑπὲρ ἐμοῦ πρεσβεύουσα τῷ Υἱῷ καὶ Θεῷ σου, τὶς ἐκ τοσούτου με κλύδωνος καὶ δεινῶν κινδύνων ἐρρύσατο.

*Ὠδὴ Γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑψηλόφρονι γνώμῃ καὶ σταθηρᾷ ἔδησας, Σὺ τὸν πολυμή-

χανον ὄφιν καὶ ἀπενέκρωσας, διὸ ἡμᾶς λύτρωσαι ἐκ σατανικῶν μεθοδιῶν αὐτοῦ καὶ διάσωσον θείᾳ δυνάμει Σου.

Δυναστείαν ἐξ ὕψους Σὺ κατ' ἐχθρῶν εἴληφας καὶ τῶν νοσημάτων ἐξαίρειν τὸν καύσωνα, διὸ παθῶν ἡμῶν τὰς ἀλγηδόνας ἐν τάχει ἴασαι δεόμεθα προσπεφευγότας εἰς Σέ.

*Δόξα.*

Ἐξενώθης τῷ κόσμῳ τῷ πρὸς Χριστὸν ἔρωτι, ξένην βιοτὴν ἐπιδείξασα, Παναοίδιμε, τοὺς ξενωθέντας ἡμᾶς τῶν ἐντολῶν τοῦ Κυρίου τάχυνον ἐπίστρεψον ταῖς πρὸς Θεόν Σου εὐχαῖς.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἡ τεκοῦσα ἀσπόρως τὸν ποιητὴν Ἄχραντε καὶ μητροπρεπῶς ἐν ἀγκάλαις τοῦτον βαστάσασα αὐτὸν ἱκέτευε τῆς ζοφερᾶς καταιγίδος τῶν δεινῶν λυτρώσασθαι ἡμᾶς τοὺς δούλους Σου.

*Κάθισμα ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὸν δι' οἶκτον ὀφθέντα ἐπὶ τῆς γῆς, ἀγαπήσασα Λόγον Θεοῦ Πατρός, αὐτῷ ἠκολούθησας, ὡς νυμφίῳ, Πανόλβιε, καὶ φθαρτὸν νυμφίον προθύμως κατέλιπες, καὶ ἐνεγκαμένη καὶ πλοῦτον ἐπίκηρον· ὅθεν ἐπὶ ξένης φερωνύμως βιοῦσα, τὰ πάθη ἐνέκρωσας καὶ τῶν ζώντων ἀπείληφας κληρουχίαν, Θεόπνευστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην Σου.

*Θεοτοκίον ὅμοιον.*

Πειρασμοῖς πολυτρόποις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου· καὶ ὡς θερμῇ ἀντιλήψει καὶ σκέπῃ μου Ἄχραντε, τῷ λιμένι προστρέχω τῆς Σῆς ἀγαθότητος· ὅθεν Παναγία, τὸν ἐκ

Σοῦ σαρκωθέντα ἀσπόρως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων Σου τῶν ἀπαύστως ὑμνούντων Σε, Θεοτόκε πανάχραντε, πρεσβεύουσα Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἀξίως τὸν πανάγιον Τόκον Σου.

*Ὠδὴ Δ'. Σύμου ἰσχὺς Κύριε . . . .*

Σὲ τὴν ἁγνήν, Σὲ τὴν πανένδοξον ἅπαντες τοῦ Κυρίου Νύμφην καλλιπάρθενον ἐπικαλούμεθα ἐκ ψυχῆς οἱ βάθει πταισμάτων παντοδαπῶν συμφυρόμενοι αἰτοῦντες δωρηθῆναι ἡμῖν τοῖς Σὲ τιμῶσι παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

Ἵνα τὴν Σὴν ἐπιτελῶμεν πανήγυριν, ἵνα πόθῳ Σε καταγεραίρωμεν, ἵνα ὑμνῶμεν εἰλικρινῶς πόνους καὶ τὰ ἆθλα διὰ Χριστόν, ἅπερ ἤνεγκας δυσώπησον τὸν Κτίστην ἡμῖν ἱλεωθῆναι τοῖς ἐκ ψυχῆς Σε μακαρίζουσι.

*Δόξα.*

Νεανικῶς ὑπεισελθὼν Σοι ὁ δόλιος ἐπειρᾶτο, Σὲ τὴν ἀξιάγαστον καὶ σωφρονεστάτην ὡς ἀληθῶς ἑλκῦσαι πρὸς πάθη καὶ ἡδονὰς τοῦ σώματος. Ἀλλ' ὡς τούτου, Παρθένε, πανουργίας καθεῖλες, οὕτω καὶ νῦν με συμπαράταξον.

*Καὶ νῦν. Θεοτοκίον.*

Πανευλαβῶς πρὸ τῆς εἰκόνος παρίσταμαι τῆς Ἀχράντου τῆς Σῆς, Παναμώμητε, ἐκλιπαρῶν καὶ παρακαλῶν μή με ἀπορρίψῃς τοῦ Σοῦ προσώπου τὸν ἄθλιον· ἀλλ' οἴκτειρον καὶ σῶσον ἐκ παντοίας με βλάβης καὶ κινδύνων καὶ πάσης κακώσεως.

*Ὠδὴ Ε'. Ἵνα τί με ἀπώσω.*

Σῶν γονέων ὁ πόθος τὸ τῆς ψυχῆς Σου ἀσάλευτον ἔσεισε καὶ παρέπεισέ Σε τοῖς αὐτῶν ἐπινεῦσαι κελεύσμασιν, ἀλλ' ἐκρα-

ταιώθης τῇ τοῦ Χριστοῦ θείᾳ δυνάμει· διὸ πάντας ἡμᾶς νῦν κραταίωσον.

Ὡς φρουρὸν κεκτημένοι καὶ πρόμαχον καὶ ῥύστην Σε ἄμισθον ἐκ ψυχῆς βοῶμεν τὴν πικρίαν ἡμῶν τὴν τῶν θλίψεων καταγλύκανον Σὺ δροσισμῷ τῆς Σῆς πρεσβείας τὸν τῶν ὅλων Θεὸν ἱκετεύουσα.

*Δόξα.*

Νενοσηκότας, Θεόφρον, καὶ ψυχῇ καὶ σώματι κινδυνεύοντας, δραστικῷ φαρμάκῳ καὶ τῇ αἴγλῃ Σῶν θαυμάτων, Σεμνή, ἐπιφάνηθι νῦν καὶ κατ' ἄμφω ὑγείωσον, ἵνα πίστει καὶ πόθῳ ὑμνοῦμέν Σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁμαρτίαις ἐπαύξω ἄλλας ἁμαρτίας ὁ τλήμων ἑκάστοτε, καὶ ἐπισυνάγω τῆς γεέννης τὸ πῦρ τὸ ἀνύποιστον ἐν τῇ παναθλίᾳ ἐμοῦ ψυχῇ, ἀφ' οὗ με ῥῦσαι πρὸ τῆς πείρας ἐκείνης, Πανάμωμε.

*Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ἰδεῖν Σου τὸ ποθεινὸν κάλλος, Χριστέ, ἀγαπήσασαι νεάνιδες αἱ σεπταὶ ὀπίσω Σου ἔδραμον εἰς ὀσμὴν τοῦ μύρου Σου Ξένης τῆς ὁσίας ταῖς σοφαῖς εἰσηγήσεσι.

Κινδύνων παντοδαπῶν καὶ θλίψεων ἐλευθέρωσον, ὁσία πανευκλεὴς παρθένων ἀγλάϊσμα τοὺς προσκαλουμένους Σε καὶ ἐπιζητοῦντας πρεσβειῶν Σου τὸ ἔλεος.

*Δόξα.*

Ἐπιφοραῖς ἀλγεινῶν καὶ τρικυμίαις ποντούμενοι, καὶ σάλῳ πολλῶν κακῶν δεινῶς χειμαζόμενοι χεῖρα ἡμῖν ὄρεξον, πρεσβειῶν Σου θείων, ὅπως τύχωμεν λυτρώσεως.

### *Καὶ νῦν. Θεοτοκίον.*

Ἰλύος με τῶν δεινῶν καὶ τῶν παθῶν ἀμαυρότητος ἐκλύτρωσαί με, οἰκτρῶς, Σεμνή, νῦν διάγοντα· προσώζεσαν γὰρ σαφῶς ἕλκη τῶν παθῶν μου, Θεοχαρίτωτε Δέσποινα.

### *Τὸ Κοντάκιον.*

Ταῖς ὑπερφώτοις καλλοναῖς λαμφθεῖσα, ἔνδοξε, κατεδουλώθης τὴν ψυχὴν τῷ θείῳ ἔρωτι, καὶ πάντα κατεμάρανας πάθη τῆς σαρκός Σου· ὅθεν γέγονας Τριάδος θεῖον τέμενος, καὶ παρίστασαι Αὐτῇ ἀεὶ κραυγάζουσα τῶν βοώντων Σοι· χαίροις Μῆτερ Πανόλβιε.

### *Ὁ Οἶκος.*

Ἄγγελος καθωράθης ἐπὶ γῆς τοῖς ἀνθρώποις ὡς ἄϋλος βιώσασα, Ξένη· ἰσάγγελον γὰρ πολιτείαν ἐπὶ γῆς σαφῶς ἐπεδείξω, Πάνσεμνε, τοὺς πάντας καταπλήττουσα καὶ προτρέπουσα βοᾶν Σοι ταῦτα.

Χαῖρε, τῆς Ἐκκλησίας διαυγεστάτη σελήνη, χαῖρε, τῆς εὐσεβείας ἡ λαμπροτάτη σαγήνη.

Χαῖρε, τὸ τῆς Ῥώμης σεπτὸν ἐγκαλλώπισμα, χαῖρε, τὸ τῶν Μυλάσων εὐκλεὲς περιήχημα.

Χαῖρε, ἡ κορωνὶς Ἀσκητῶν καὶ Ὁσίων, χαῖρε, ἡ βασιλὶς τῶν ἀθλούντων γυναίων.

Χαῖρε, ἡ σεπτὴ μυροθήκη τοῦ Πνεύματος, χαῖρε, ἀρετῆς κανὼν ἀκριβέστατος.

Χαῖρε, τῆς ἡσυχίας τὸ ἄνθος τὸ εὔοσμον, χαῖρε, τῆς ἀκτησίας ὁ πλοῦτος ὁ ἔντιμος.

Χαῖρε, ἡμῶν ἡ κραταιὰ προστασία, χαῖρε, τῶν αὐτῶν πρὸς Θεὸν θερμὴ πρεσβεία.

Χαίροις Μῆτερ Πανόλβιε.

Τῷ αὐτῷ Μηνὶ κδ' μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν καὶ Θεοφόρου Ξένης τῆς Ῥωμαίας.

Στίχοι. *Ἀποξενοῦται τοῦδε τοῦ βίου, Ξένη, οὗ ζῶσα καὶ πρίν, ὡς ἀληθῶς ἦν Ξένη· θνήσκουσιν ἄμφω τῆς Ξένης αἱ δουλίδες οὐ τῶν ἐκείνης ἀρετῶν οὖσαι ξέναι· εἰκάδι οὐρανοῦ εἰς ξενίην Ξένη ἦλθε τετάρτη.*

*Ὠδὴ Ζ'.*

Τοῖς σπαργάνοις ἡ Ῥώμη ἐγκαυχᾶται, τὰ δὲ Μύλασα τῷ Σῷ πανσέπτῳ σκήνει, καὶ μέλπουσιν ἀεὶ τὴν μνήμην Σου τελοῦντα καὶ χάριν ἀπαρύονται ἀμετρήτων Σου θαυμάτων.

Ὡς κρίνον ἐν μέσῳ ἀκανθώδους ἀσεβείας ἐξήνθησας, Ὁσία, καὶ ἐπλήρωσας σαφῶς τὴν πόλιν τῶν Μυλάσων καὶ πᾶσαν τὴν περίγειον ταῖς ὀδμαῖς τῶν σῶν θαυμάτων.

*Δόξα.*

Νάουσαν παντοίων δωρημάτων καὶ ἀκέστορα ποικίλων νοσημάτων τὰ Μύλασα τρανῶς πλουτοῦντά Σε ὑμνοῦσι καὶ δοξολογοῦσι Θεὸν εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν. Θεοτοκίον.*

Λύχνον μου σβέσον τῶν παθῶν μου ἡ γεννήσασα τὸ Φῶς τῆς ἀπαθείας, καὶ ὑπάναψον ἐμοὶ τὸν λύχνον τῆς ψυχῆς μου ὡς ἂν ῥυσθεὶς κραυγάζω Σοι, χαῖρε Μῆτερ τοῦ Κυρίου.

*Ὠδὴ Η'. Ἑπταπλασίως.*

Ὡς ἰατρὸν πανάριστον καὶ ταχεῖαν ἀντίληψιν πάντες οἱ πιστοί Σε κεκτημένοι, Ἔνδοξε, δεινῶν ἐκλυτρούμεθα καὶ πάσης θλίψεως καὶ ὀργῆς Σὲ πρὸς τὸν Θεὸν προβαλλόμενοι πρέσβυν, βοῶντες εὐχαρίστως ψυχῇ τε καὶ καρδίᾳ, χαῖρε ἡμῶν ἡ δόξα καὶ τῶν Μυλάσων τὸ κλέος.

Μυλάσων τὰ συστήματα εὐσεβῶν Σὲ γεραίρουσι, μνήμην Σου τελοῦντα τὴν φαιδρὰν καὶ εὔσημον· καὶ ἐκ ψυχῆς δοξάζοντα τὸν Παρασχόντα Σε κράζουσιν Αὐτῷ ἐν κατανύξει καρδίας· ὦ Δέσποτα τῶν ὅλων εὐχαῖς τῆς Σῆς Ὁσίας, ἵλεως ἡμῖν ἔσο ὑμνοῦσί Σε εἰς τοὺς αἰῶνας.

*Δόξα.*

Ἡγιασμένη πέφυκας ψυχῇ τε καὶ σώματι ὅλην σεαυτὴν ἐκδοῦσα εἰς τὰ σκάμματα ἀσκήσεως, Πανένδοξε· ὅθεν καὶ κάκωσιν τὴν ἡμῶν ἱκευτικῶς μὴ παρίδῃς Σοι βοῶμεν, ἀλλ᾽ ἐπίσκεψαι ἐν τάχει πρεσβεύουσα Κυρίῳ ἡμᾶς ἐκλυτρωθῆναι ἐκ πάντων τῶν κινδύνων.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὄντως Θεὸν ἐκύησας,Θεοτόκε Πανάμωμε, σάρκα δι᾽ ἡμᾶς γεγονότα ἐν μήτρᾳ Σου· τοῦτον, Ἁγνή, ἱκέτευε τοῦ ρυσθῆναι πάσης ὀργῆς λοιμοῦ καὶ σεισμοῦ τε καὶ πολέμου ἀπαγωγῆς ἡμᾶς, τοὺς εὐλαβείᾳ καὶ πόθῳ προσκυνοῦντας τὸν Τόκον Σου τὸν θεῖον καὶ Σὲ γεραίροντας.

*Ὠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Τεθρίππῳ ἀναβᾶσα τῶν ἀρετῶν ἀνηνέχθης εἰς ὕψος οὐράνιον, καὶ ἀστραπαῖς ἐκεῖθεν αὐγασθεῖσα τῇ σῇ ψυχῇ τοῦ Πνεύματος, Πανόλβιε, ἐκλάμπεις ὡς Σελήνη πανευπρεπής, φωτίζουσα τοὺς πίστει καὶ πόθῳ Σε ὑμνοῦντας ὡς τοῦ Χριστοῦ Νύμφην ἀμώμητον.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς σὺν ἁγίοις Ἀγγέλοις χορεύουσα ἐπὶ τῆς γῆς, μέμνησο τῶν δούλων Σου ἐκτενῶς πρὸς Κύριον πρεσβεύουσα συγχώρησιν πταισμάτων δοῦναι ἡμῖν, ὅπως ἐν μετανοίᾳ τὸν βίον διελθόντες εἰς τὴν ἀνάπαυσιν καταντήσωμεν.

*Δόξα.*

Ῥοαῖς Σου τῶν δακρύων, Μῆτερ σεμνή, τῶν παθῶν Σου τὴν κάμινον σβέσασα, καὶ νῦν ἡμῶν φλέξον τὰς ἀκάνθας τῶν πειρασμῶν καὶ εὐφροσύνης πλήρωσον πάντων τὰς καρδίας τῶν εὐσεβῶς βοώντων Σοι τὸ χαῖρε καρδίας κατανύξει, μοναζουσῶν τὸ κλέος καὶ ἀγαλλίαμα.

*Καὶ νῦν. Θεοτοκίον.*

Σὲ θρόνου γινώσκομεν τοῦ Θεοῦ πυρίμορφον ὄντως Θεόνυμφε, καὶ νυμφικὸν θάλαμον τοῦ πάντων Δημιουργοῦ καὶ κλίνην πορφυρόστρωτον, ἐν ᾗ ἐπανεπαύσατο ὁ Θεός, ὃν νῦν τε ἐκδυσώπει ῥυσθῆναι τῶν πταισμάτων ψυχῆς τε μολυσμάτων τοὺς ἐκ ψυχῆς Σε μεγαλύνοντας.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ξενίαν τὴν οὐράνιον ποθοῦσα, Ξένη Πάνσεμνε, ξένην σαυτὴν Θεοφόρε, πατρίδος, πλούτου καὶ γένους φιλευσεβῶς πεποίηκας· τὸν Σταυρόν Σου δὲ ἄρασα, Χριστῷ προθύμως ἔδραμες, τῷ ξενοτρόπως ἐλθόντι σῶσαι βροτοὺς ἐκ Παρθένου.

*Ἕτερον. Ὅμοιον.*

Τὴν Ξένην ἀνυμνήσωμεν Χριστοῦ τὴν Καλλιπάρθενον καὶ τὴν Ἀμνάδα Κυρίου, τὴν χαριτόβρυτον Κόρην, Ἀγγέλων ἰσοστάσιον, ἀνθρώπων φυλακτήριον, φυγαδευτῆρα δαιμόνων· ὑπὲρ ἡμῶν γὰρ πρεσβεύει ἀδιαλείπτως Κυρίῳ.

*Θεοτοκίον, ὅμοιον.*

Ὡράθης ὑπερέχουσα τῶν ποιημάτων Δέσποινα, σαρκὶ τεκοῦσα, Παρθένε, Θεὸν τῶν ὅλων καὶ Κτίστην· οὗ τῷ Σταυρῷ ῥωννύ-

μεναι γυναῖκες αἱ Θεόφρονες, νεανικῶς ἠρίστευσαν· μεθ' ὧν Σε πάντες ὑμνοῦμεν, εὐλογημένη Μαρία.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Οἱ τῶν Μυλάσων νῦν παῖδες, δεῦτε συνδράμετε, ἰδεῖν τῆς Πολιούχου τὸ πανάγιον σῶμα· ταμεῖον γὰρ ὑπάρχει τῶν ἀρετῶν καὶ μυροθήκη τοῦ Πνεύματος· πανευλαβῶς οὖν ἀσπάσασθε τὴν σωρὸν τῆς Παρθένου καὶ ἀμώμου Μητρός. (Δίς).

Ξένην τὴν θείαν ἀξίως νῦν μακαρίσωμεν, τὸ βλάστημα τῆς Ῥώμης, τῶν Μυλάσων τὸ κλέος, Καρίας τε ἁπάσης τὴν χαρμονὴν καὶ Σηλυβρίας ἀγλάϊσμα· ὑπὲρ ἡμῶν γὰρ πρεσβεύει τῷ Λυτρωτῇ δοῦναι λύσιν τῶν πταισμάτων ἡμῶν.

Τῆς ἀρετῆς τὸν ἀγῶνα ὄντως διήνυσας ἐπὶ τῆς γῆς, Ὁσία, ὥσπερ ἄϋλος οὖσα, σέβειν τε τὰ θεῖα διηνεκῶς τοὺς ἀνθρώπους διδάξασα, καὶ τὴν οὐράνιον δόξαν ἐπιποθεῖν, διὰ τοῦτο ἠξιώθης αὐτῆς.

*Δόξα, εἰς τοὺς Αἴνους. Ἦχος πλ. Α'.*

Δεῦτε τῆς Καλλιπαρθένου τὴν Κοίμησιν φαιδρῶς πανηγυρίσωμεν. Δεῦτε καὶ χορείαν στησώμεθα, ᾄσμασιν ἐγκωμίων γεραίροντες τὸ σεπτὸν καὶ μυροβόλον σῶμα τῆς πολιούχου ἡμῶν. Ὡς ἥλιος γὰρ ἐξήστραψε τῇ λάμψει τῶν ἀρετῶν καὶ πᾶσαν τὴν Καρίαν ἐνέπλησε θαυμάτων. Ὡς ἄγγελος χορεύει ἐν οὐρανοῖς σὺν ταῖς δυσὶ θεραπαινίσι, καὶ τοῦ Βελίαρ τὴν δύναμιν ἐπὶ τῆς γῆς κατεστόρεσε. Δεῦτε φιλέορτοι μυστικῶς Αὐτὴν πανηγυρίσωμεν λέγοντες. Χαίροις, Παράδεισε, ὁ τὰ μύρα βλύζων καὶ τὰς ψυχὰς εὐωδίας πληρῶν. Χαίροις, τῆς Ῥώμης τὸ βλάστημα, τῶν Μυλάσων τὸ ἀγαλλίαμα καὶ πάσης τῆς Καρίας τὸ ἐγκαλλώπισμα. Χαίροις, ὅτι τὸ ἄφθαρτον στέφος σὺν

τῷ τιμίῳ Σταυρῷ ἀστράσι πεποικιλμένα, ὥσπερ καὶ Κωνσταν-τίνῳ τῷ Ἄνακτι, τῇ σεπτῇ σου Κοιμήσει ἐδείχθη Σοι. Ἀλλ᾽ ὦ Μῆτερ ἀξιάγαστε, τῶν πολεμίων τὰ θράση κατάβαλε καὶ τῶν ψυχῶν ἡμῶν τὰ ἕλκη θεράπευσον ταῖς πρὸς Θεὸν μεσιτείαις Σου.

*Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.*

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία μεγάλη. Εἰς τὴν Λειτουργίαν Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ὁσίας. Κοινωνικὸν· εἰς μνημόσυνον.*

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Τὴν λαμπάδα πάντες τὴν φαεινήν, καὶ τῆς παρθενίας τὸν ἀσύλητον θησαυρόν, τὴν Νύμφην Κυρίου καὶ ἄσπιλον Ἀμνάδα, τὴν Ξένην τὴν ὁσίαν πάντες ὑμνήσωμεν.

Ῥόδον ἐξωρμίσθη ἀπὸ δυσμῶν καὶ εὐωδιάζει τὰς καρδίας τῶν εὐσεβῶν, ἡ Ξένη ἡ μήτηρ ἡμῶν τῶν Μυλασέων, αὐτὴν οὖν ἐπαξίως ἀνευφημήσωμεν.

Γλῶσσα γὰρ οὐ σθένει Σε ἐξειπεῖν, τῶν Σῶν θαυμασίων τὸ ὑπέρμετρον, τὴν πληθύν· πηγάζεις ἰάσεις ποικίλων νοσημάτων τοῖς πίστει προσιοῦσι καὶ εὐφημοῦσί Σε.

Χαίροις τῶν Παρθένων ἡ καλλονή, καὶ τῶν ἐναρέτων καὶ ὁσίων ἡ χαρμονή, ἱερέων δόξα, ἀδικουμένων ῥύστις, ἡμῶν δὲ προστασία, Ξένη πανεύφημε.

Τέρπου καὶ ἀγάλλου σὺν τῇ Μητρὶ τοῦ Παμβασιλέως καὶ Θεοῦ ἡμῶν, ὦ Σεμνή· ἀνεγηγερμένον τὸν Σὸν ναὸν τηροῦσα, Θεοῦ τῇ εὐδοκίᾳ, ὃν φρούρει πάντοτε.

# ΟΙΚΟΙ 24 ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ «ΞΕΝΗΝ»

*Κοντάκιον. «Τῇ ὑπερμάχῳ».*

*Ταῖς ὑπερφώτοις καλλοναῖς λαμφθεῖσα, Ἔνδοξε,*
*Κατεδουλώθης τὴν ψυχὴν τῷ θείῳ ἔρωτι.*
*Καὶ πάντα κατεμάρανας πάθη τῆς σαρκός Σου.*
*Ὅθεν γέγονας Τριάδος θεῖον τέμενος*
*Καὶ παρίστασαι Αὐτῇ καθικετεύουσα,*
*Τῶν βοώντων Σοι· χαίροις Μῆτερ Πανόλβιε.*

*Ἄγγελος* καθωράθης ἐπὶ γῆς τοῖς ἀνθρώποις, ὡς ἄϋλος βιώσασα Ξένη, (ἐκ γ΄.). Ἰσάγγελον γὰρ πολιτείαν ἐπὶ γῆς σαφῶς ἐπεδείξω, Πάνσεμνε, τοὺς πάντας καταπλήττουσα, καὶ προτρέπουσα βοᾶν σοι ταῦτα.

*Χαῖρε, τῆς Ἐκκλησίας διαυγεστάτη σελήνη,*
*Χαῖρε, τῆς εὐσεβείας ἡ λαμπροτάτη σαγήνη.*
*Χαῖρε, τὸ τῆς Ῥώμης σεπτὸν ἐγκαλλώπισμα,*
*Χαῖρε, τὸ τῶν Μυλάσων εὐκλεὲς περιήχημα.*
*Χαῖρε, ἡ κορωνὶς ἀσκητῶν καὶ ὁσίων,*
*Χαῖρε, ἡ βασιλὶς τῶν ἀθλούντων γυναίων.*
*Χαῖρε, ἡ σεπτὴ μυροθήκη τοῦ Πνεύματος,*
*Χαῖρε, ἀρετῆς κανὼν ἀκριβέστατος.*
*Χαῖρε τῆς ἡσυχίας τὸ ἄνθος τὸ εὔοσμον,*
*Χαῖρε, τῆς ἀκτησίας ὁ πλοῦτος ὁ ἔντιμος.*
*Χαῖρε, ἡμῶν ἡ κραταιὰ προστασία,*
*Χαῖρε, τῶν αὐτῶν πρὸς Θεὸν θερμὴ πρεσβεία,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Βλέπων* Σου τὸ ὡραῖον τῆς ψυχῆς ὁ Δεσπότης, ἑαυτῷ προσαρμόσαι ἐπέγνω· καὶ νυμφίῳ δοθεῖσα γεηρῷ, ἀμίαντόν Σου

τὸ σῶμα ἐτήρησας ἀκολουθήσασα, καὶ θερμῶς βοῶσα, Χριστῷ *Ἀλληλούϊα.*

*Γέλως* σοι καθωράθη ἡ τερπνότης τοῦ κόσμου, ἡνίκα τὴν ψυχὴν ἐφωτίσθης· καὶ στέγης ἀποστᾶσα πατρικῆς, τόπους πολλοὺς ἀγνώστους διήμειψας, ὡς χελιδὼν ἡδύλαλος, τὸ ἔαρ τῆς μετανοίας κηρύττουσα, καὶ ἀκούουσα ταῦτα.

*Χαῖρε, τῆς μετανοίας ἡ λαμπρόφωνος σάλπιγξ,*
*Χαῖρε, τῆς σωτηρίας ἡμῶν ἡ θεία φόρμιγξ.*
*Χαῖρε, τῆς πίστεως τὸ ἀμάραντον ἄνθος,*
*Χαῖρε, τῆς Ἐκκλησίας τὸ ἡδύτατον εὖχος.*
*Χαῖρε, τῶν πλανωμένων ὁ ἀχείμαστος ὅρμος,*
*Χαῖρε, τῶν εὐσεβούντων ὁ ὑπέρλαμπρος κόσμος.*
*Χαῖρε, τῶν ἀρετῶν καθαρὸν ἐνδιαίτημα,*
*Χαῖρε, τῶν Μοναστῶν καλλονὴ καὶ ἑδραίωμα.*
*Χαῖρε, ἡ πλουτοῦσα χαρισμάτων ἐνθέων,*
*Χαῖρε, ἡ ταπεινοῦσα τὴν ὀφρὺν τῶν ἀθέων.*
*Χαῖρε, ἡ ἀμβλύνασα τοῦ Βελίαρ τὰ κέντρα,*
*Χαῖρε, ἡ πηγάζουσα ἡμῖν θεῖα ῥεῖθρα,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Δέδοταί Σοι*, Ὁσία, ἀμοιβή, ὧν περ ἔτλης, ψυχῶν πολλῶν σωτηρία. Παρθένων γὰρ χορὸν τῷ Θεῷ, ὡς σεπτὸν προσῆξας καλλιέρημα, ῥητορεύουσα αὐταῖς τὰ θεῖα μελῳδήματα, καὶ βοῶσα σὺν αὐταῖς, *Ἀλληλούϊα.*

*Ἔλαμψας* ἐν τῷ κόσμῳ, ὥσπερ ἥλιος, Ξένη, φωτίζουσα πιστῶν τὰς καρδίας. Καὶ τῷ φωτὶ τῶν πράξεων φαιδρύνεις τῶν πιστῶν τὰ συστήματα, ἐγείρουσα ἐξ ὕπνου ἀμελείας τε, βοῶντά σοι ἐκ ψυχῆς ταῦτα.

*Χαῖρε, τῆς ἡμῶν ἀβλεψίας ὁ λύχνος,*
*Χαῖρε, τῆς ἡμῶν εὐκληρίας τὸ τεῖχος.*
*Χαῖρε, ἡ κρηπὶς εὐσεβοῦς πολιτείας,*
*Χαῖρε, ἡ μύστις ὑψηλῆς θεωρίας.*

*Χαῖρε, τὸ εὖχος ἡμῶν τὸ φαιδρότατον,*
*Χαῖρε, τὸ κρίνον Μυλάσων τὸ εὔχροον.*
*Χαῖρε, δι' ἧς ἠσχύνθησαν δαίμονες,*
*Χαῖρε, δι' ἧς ἐστέφθησαν Μάρτυρες.*
*Χαῖρε, τὸ θεῖον τοῦ Πνεύματος ὄργανον,*
*Χαῖρε, τῶν πιστῶν ἀσφαλὲς καταφύγιον.*
*Χαῖρε, ἡμῶν ἡ σεπτὴ Πολιοῦχος,*
*Χαῖρε, ἡ παντοίων ἀρετῶν ταμιοῦχος,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Ζήλῳ* τοῦ Σοῦ Νυμφίου, ἀποῤῥαγεῖσα πατρίδος, φερωνύμως Ξένη ἐκλήθης· καὶ πάσης προσπαθείας κοσμικῆς σεαυτὴν ἐκκαθάρασα, γέγονας ναὸς τοῦ θείου Πνεύματος, βοῶσα ἐκ καρδίας, *'Αλληλούϊα.*

*"Ηστραψας* ἐν τῷ κόσμῳ τῶν θαυμάτων ἀκτῖσι, φωτίζουσα τὴν ὑφήλιον πᾶσαν· καὶ ταῖς βολαῖς τῶν ἄθλων σου Φαραὼ τὸν νοητὸν ἐναπέπνιξας, εἰς ὕψη ἐπαιρόμενον ἄμετρα δι' ὃ Σοι βοῶμεν.

*Χαῖρε, τῶν θαυμάτων πηγὴ ἀνεξάντλητε,*
*Χαῖρε, τῶν δογμάτων κρηπὶς ἀπερίτρεπτε.*
*Χαῖρε, ποταμὲ ζωηρρύτων ναμάτων,*
*Χαῖρε, κιβωτὲ τῶν Χριστοῦ διδαγμάτων.*
*Χαῖρε, ἡ ἔνθεος ἐργάτις τῆς ἐγκρατείας,*
*Χαῖρε, ἡ ἔμψυχος στήλη της παρθενίας.*
*Χαῖρε, περιστερὰ ἡ φέρουσα μετανοίας τὸ κάρφος,*
*Χαῖρε, ἡ διώξασα τῆς ψυχῆς ἅπαν πάθος.*
*Χαῖρε, Χριστοῦ εὐωδεστάτη θυσία,*
*Χαῖρε, πιστῶν φαεινοτάτη λυχνία.*
*Χαῖρε, δι' ἧς ὀρθοῦται εὐσέβεια,*
*Χαῖρε, δι' ἧς τροποῦται δυσσέβεια,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Θαύμασι* καὶ σημείοις διετέλεσας, Ξένη, λάμπουσα ἐν νυ-

καὶ ἀγνωσίας. Ὅθεν Σε ὁρῶντες οἱ λαοί, προσήρχοντο τῇ πίστει φωτιζόμενοι, καὶ γνῶσιν παρὰ Σοῦ λαμβάνοντες ἐβόων τῷ ἐν ὑψίστοις, *Ἀλληλούϊα.*

*Ἴδον παῖδες* Μυλάσων, ἐν τῇ Σῇ παρουσίᾳ, ἄγγελον αὐτοῖς ἐκπεμφθέντα πρὸς Θεοῦ, καὶ ἔκθαμβοι πρὸς Σὲ ἐνητένιζον θεώμενοι, τὸν καινὸν καὶ ἄφραστον βίον Σου βοῶντες ἐκ ψυχῆς ταῦτα.

*Χαῖρε, τῆς Ἐκκλησίας τρυγὼν ἡ φιλέρημος,*
*Χαῖρε, τῆς ἡμῶν εὐκληρίας ἡ πρόξενος.*
*Χαῖρε, ὁ μελίστακτος τῆς πίστεως βότρυς,*
*Χαῖρε, τῆς οὐρανίου Σοφίας ἡ μύστις.*
*Χαῖρε, ἡ τῷ Πνεύματι διασχοῦσα οὐρανόν,*
*Χαῖρε, ἡ τῷ στόματι μελῳδήσασα Χριστόν.*
*Χαῖρε, νοῦς ὁ πρακτικώτατος θεοπνεύστων λογίων,*
*Χαῖρε, ἡ ἀσκήσασα τὴν ζωὴν τῶν ἀγγέλων.*
*Χαῖρε, ἡ τῶν ἀρετῶν κοσμηθεῖσα ἀγλαΐαις,*
*Χαῖρε, ἡ τῶν πονηρῶν καθελοῦσα πανουργίας.*
*Χαῖρε, ἡ τὸν χοῦν τῷ χοῒ ἐκλαθοῦσα,*
*Χαῖρε, ἡ τῷ Νῷ τῷ Νοῒ κολληθεῖσα.*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Κύματα* ἀμφιβόλων λογισμῶν τὴν ψυχήν σου ἐκταράττοντα ὤφθησαν, ὅτε ἐν κατανύξει ψυχικῇ γονυπετὴς προσευχομένη ἵστασο, ὁ Παῦλος ὡς ἄγγελος ἐπέστη Σοι διδάσκων Σε βοᾶν, *Ἀλληλούϊα.*

*Λύχνος* τοῖς ἐν τῷ σκότει τῶν παθῶν ἀνεδείχθης φωτίζουσα ἁγνείας τῷ φέγγει· καὶ φωτισμὸν παρέχουσα, διώκεις τῶν παθῶν τὰ σκιρτήματα τοῖς ἐπικαλουμένοις Σε καὶ βοῶσί Σε ἐκ ψυχῆς ταῦτα.

*Χαῖρε, τῶν ἐν ἁμαρτίαις ὁδὸς ἡ σωτήριος,*
*Χαῖρε, τῶν ἐν μετανοίᾳ ὁ παρήγορος ἄγγελος.*
*Χαῖρε, τῶν ἀθλητῶν καὶ ὁσίων ἐφάμιλλε,*

*Χαῖρε, τῶν ἁγίων ἀγγέλων ὁμόσκηνε.*
*Χαῖρε, ἡ λεπτύνασα τὴν φρένα ἐγκρατείᾳ τῆς σαρκός,*
*Χαῖρε, ἡ νεκρώσασα τὰ πάθη θεωρίᾳ τοῦ νοός.*
*Χαῖρε, δι' ἧς ἅπας κόσμος φωτίζεται,*
*Χαῖρε, δι' ἧς πᾶσα πλάνη σκεδάννυται.*
*Χαῖρε ἡ καθηδύνουσα ἡμῶν τὰς καρδίας,*
*Χαῖρε, ἡ ὑποδείξασα ἡμῖν τρίβους ἁγίας*
*Χαῖρε, ἡ φωνήσασα τῷ ἄλσει γλυκασμὸν ἡσυχίας,*
*Χαῖρε, ἡ κηρύξασα τῷ κόσμῳ πλουτισμὸν εὐσεβείας.*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Μέμην'* ὁ δολιόφρων κατὰ Σοῦ, ὁπηνίκα τῆς ψυχῆς Σου τὸ εὔτονον εἶδε. Καὶ μυρίοις τρόποις εὐθὺς ἐπειρᾶτο συλῆσαί Σε ὁ δόλιος· ἀλλ' ἔστης ἀπερίτρεπτος αὐτὸν καταισχύνουσα καὶ βοῶσα, Ἀλληλούϊα.

*Νέαν ζωὴν* μαθοῦσαι, διὰ Σοῦ, Πανολβία, αἱ πισταί Σου Παρθένοι εὐθέως πάντα τῆς γῆς καταλείψασαι δολιχὴν ὁδὸν σὺν Σοὶ ἐπορεύθησαν τῷ πόθῳ Κυρίου πτερούμεναι καὶ ἀκούουσαι ταῦτα.

*Χαῖρε, τριὰς εὐσεβῶν γεννητόρων,*
*Χαῖρε, πλειὰς ὑπερλάμπρων ἀστέρων.*
*Χαῖρε, τῶν Μυλάσων κιννύρα ἡ τρίχορδος,*
*Χαῖρε, τῶν αὐτῶν Τριὰς ὑπέρμαχος.*
*Χαῖρε, ἡ συστήσασα χορείαν εὐσεβῶν μοναζουσῶν,*
*Χαῖρε, ἡ διδάξασα αὐτὰς τὴν οὐράνιον ὁδόν.*
*Χαῖρε, πάντες Σοι βοῶμεν καὶ γεραίρομεν λαμπρῶς,*
*Χαῖρε, ὅτι καταπέμπεις πρεσβειῶν Σου ἱλασμούς.*
*Χαῖρε, δι' ἧς λυτρούμεθα ἐκ παντοίων κινδύνων,*
*Χαῖρε, δι' ἧς ὑψούμεθα ἄνω τῶν τοῦ κόσμου ἡδέων,*
*Χαῖρε, τὸ ᾆσμα τῆς ἡμῶν μελῳδίας,*
*Χαῖρε, τὸ εὖχος ψυχικῆς σωτηρίας.*
*Χαίροις Μῆτερ Πανόλβιε,*

*Ξένος πᾶσιν* ἐδείχθη ὁ περίδοξος βίος τῆς Σῆς ἐπὶ γῆς πολιτείας. Ξενιτευθεῖσα γὰρ διὰ Χριστόν, τοὺς ξενωθέντας ἡμᾶς τῷ Θεῷ προσῳκείωσας ὁδὸν μετανοίας ὑποδείξασα τοὺς βοῶντας Αὐτῷ, *Ἀλληλούϊα.*

Ὄλβος παρὰ Κυρίου πνευματικῆς κληρουχίας ἡ πόλις Σοι Μυλάσων ἐδόθη, ἐγκατασπείρασα ἐν αὐτῇ τῆς εὐσεβείας σπόρον τὸν ἔνθεον, καὶ ἀρδεύουσα ταῖς ῥοαῖς τῶν ἱδρώτων Σου βοῶσά Σοι ταῦτα.

*Χαῖρε, ἡ ῥήτωρ ἡμῶν καὶ διδάσκαλος,*
*Χαῖρε, ἡ σεπτὴ Πολιοῦχος καὶ Ἔφορος.*
*Χαῖρε, πορφυρόχρυσον τῶν Μυλάσων ἀνάθημα,*
*Χαῖρε, χαριτώνυμον τῆς Καρίας ἐντρύφημα.*
*Χαῖρε, ἡ κρήνη Σιλωὰμ τοῖς νοσοῦσι,*
*Χαῖρε, ἡ πύλη τοῖς μετάνοιαν ποθοῦσι.*
*Χαῖρε, ὁ οἶκος τοῦ Κυρίου τῆς εἰρήνης,*
*Χαῖρε, τὸ τεῖχος αὐτοῦ τῆς ἀγάπης.*
*Χαῖρε, ὁσίων γυναικῶν ἀκροθίνιον,*
*Χαῖρε, ἀθανάτων φυτῶν τὸ γεώργιον.*
*Χαῖρε, ὅτι σὺν ἀγγέλοις τὸν Θεὸν δοξολογεῖς,*
*Χαῖρε, ὅτι τοὺς τιμῶντάς Σε ἐπὶ γῆς ἐπευλογεῖς,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Παύλῳ* τῷ θεοσόφῳ ἐντυχοῦσα Παρθένε, τοῖς ῥήμασιν αὐτοῦ καθυπείχθης· καὶ ἔργῳ τὸ αὐτοῦ πληροῦσα πρόσταγμα, εὐθέως τὰ Μύλασα κατέλαβες σὺν ταῖς δυσὶ Παρθένοις καλιὰν πηξάμεναι, καὶ βοῶσαι *Ἀλληλούϊα.*

*Ῥείθροις* τῶν σῶν ἱδρώτων ἐναπέσβεσας, Μῆτερ, στυγερὰς τῶν δαιμόνων ἐννοίας. Καὶ σεαυτῇ ἐξύφανας ἱερὰν διπλοΐδα τῆς Σῆς ἀσκήσεως, φαιδρῶς παρισταμένη τῷ Νυμφίῳ Σου καὶ ἀκούουσα παρ' ἡμῶν ταῦτα.

*Χαῖρε, ἡ οὐρανώσασα τὴν γῆν τῇ Σῇ ἀσκήσει,*
*Χαῖρε, ἡ ἀναδείξασα ἀγγέλους ἐπὶ γῆς τῇ Σῇ μιμήσει.*

Χαῖρε, τῶν σῶν φοιτητῶν τὸ παντέφορον ὄμμα,
Χαῖρε, τῶν σῶν ὑμνητῶν τὸ ἔνθεον στόμα.
Χαῖρε, τῆς εὐσταθείας ἡμῶν τὸ ἀκλόνητον τεῖχος,
Χαῖρε, τῆς εὐζωΐας ἡμῶν ὁ ἀδάπανος πλοῦτος.
Χαῖρε, ἡ χορὸν παρθένων Κυρίῳ προσάξασα,
Χαῖρε, ἡ τῶν δαιμόνων τὰ κέντρα ἀμβλύνασα.
Χαῖρε, τῆς ἀσκήσεως ἐργάτις ἡ ἔνθεος,
Χαῖρε, τῆς ἐρήμου ἀηδὼν ἡ γλυκύθυμος.
Χαῖρε, ἡ ἁγνείαν ἡμᾶς διδάξασα,
Χαῖρε, ἡ εἰρήνην ἡμῖν πρυτανεύουσα,
Χαίροις Μῆτερ Πανόλβιε.

Στέφανος ἐξ ἀστέρων τοῖς ἀστοῖς καθωράθη, ὥς ποτε βασιλεῖ Κωνσταντίνῳ· τὴν Σὴν Ὁσίαν προδηλῶν ἔνδοξον καὶ μακαρίαν τελείωσιν καὶ δόξαν, ἣν ἐν οὐρανοῖς ἀπολαύειν ἔμελλες, βοῶσα, Ἀλληλούϊα.

Τέλος προκαταγγέλων Σῆς τελευτῆς ὁ Δεσπότης, ἐν νυκτί Σοι ὀπτάνεται, Ξένη. Καὶ πρὸς τὴν ἄπονόν Σε ζωὴν ἐπαξίως παρεσκεύασε γέρα Σοι σεπτὰ προτεινόμενος, καὶ πείθων ἡμᾶς βοᾶν Σοι αὖθις.

Χαῖρε, ἡ ἐκ βρέφους τῷ Θεῷ ἀνατεθεῖσα,
Χαῖρε, ἡ τὰ κάλλη Αὐτοῦ ἐρασθεῖσα.
Χαῖρε, τοῦ Χριστοῦ ἡ ἀμνὰς ἡ ἄσπιλος,
Χαῖρε, τοῦ αὐτοῦ ἡ παρθένος ἡ πανάμωμος.
Χαῖρε, ἡ γονέων καὶ πατρίδος χωρισθεῖσα,
Χαῖρε, ἡ Νυμφίῳ οὐρανίῳ ἁρμοσθεῖσα.
Χαῖρε, ἡ τοῖς θείοις ἀεὶ ἐντρυφῶσα,
Χαῖρε, ἡ τὰ κάτω ἀεὶ παρορῶσα.
Χαῖρε, ἡ τὰς παρατάξεις τῶν ἐχθρῶν κατατροποῦσα,
Χαῖρε, ἡ τὰς παραβάσεις φοιτητῶν Σῶν διορθοῦσα.
Χαῖρε, ἡ εὐγένειαν καὶ σοφίαν πλουτοῦσα,
Χαῖρε, ἡ εὐσέβειαν καὶ ἁγνείαν ἀσκοῦσα,
Χαίροις Μῆτερ Πανόλβιε.

*Ὕμνησάν Σε* ἀγγέλων καὶ ἀνθρώπων τὰ πλήθη, ἡνίκα πρὸς Θεὸν ἐξεδήμεις. Καὶ κοινὴν χορείαν συστησάμενα τὸν ἐξόδιον ὕμνον Σοι ἔμελπον προπέμποντα τὸ θεῖον καὶ ἱερώτατον σκῆνός Σου καὶ βοῶντα *Ἀλληλούϊα.*

*Φέγγει* τῶν σῶν θαυμάτων πᾶς πιστὸς ἐκλυτροῦται, σκότους παθῶν ἁμαρτίας. Ἐθαυμαστώθη γὰρ ἀληθῶς ἐν Σοὶ τοῦ Δεσπότου Χριστοῦ ἡ δύναμις, μεγάλως Σε ἐνισχύσασα κατὰ παθῶν ἀήττητε, διό Σοι βοῶμεν.

*Χαῖρε, ἡμῶν ἡ ἄληκτος εὐφροσύνη,*
*Χαῖρε, τῶν Παρθένων ἡ στερρὰ ἀμπεχόνη.*
*Χαῖρε, κρηπὶς πρακτικῆς φιλοσοφίας,*
*Χαῖρε, βολὶς μυστικῆς θεολογίας.*
*Χαῖρε, ἡ τὸ κατ' εἰκόνα Θεοῦ τηρήσασα ἀλώβητον,*
*Χαῖρε, ἡ τὸ πνεῦμα τῆς σαρκὸς δείξασα ὑπέρτερον.*
*Χαῖρε, ὅτι καὶ θανοῦσα ἀγγέλους ἔσχες ὑμνητάς,*
*Χαῖρε, ὅτι καὶ ταφεῖσα ἀνθρώπους ἔχεις μιμητάς.*
*Χαῖρε, ἡ Εὐσέβεια τῷ ἔργῳ καὶ τῷ λόγῳ ὀνομασθεῖσα,*
*Χαῖρε, Ξένη καὶ τῇ κλήσει καὶ τῇ πράξει ὁραθεῖσα.*
*Χαῖρε, ἡ χαρὰ τῶν Μυλάσων καὶ δόξα,*
*Χαῖρε, τῶν αὐτῶν τὸ παμπόθητον χάρμα,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Χαίροντες* τῶν ἀγγέλων καὶ ὁσίων οἱ δῆμοι ἐδέξαντο τὸ πνεῦμά Σου Μῆτερ, καὶ ὁ Χριστός Σε ἔστεψε στεφάνῳ τῆς ἀσκήσεως καὶ δόξης τῆς αὐτοῦ μέτοχον ἀπειργάσατο ψάλλουσαν σὺν ἀγγέλοις Αὐτῷ *Ἀλληλούϊα.*

*Ψάλλει τε* καὶ γεραίρει ἡ σεπτὴ Ἐκκλησία τὴν Σὴν πανίερον μνήμην ἐνθέως. Ὡς ἥλιος γὰρ ἡμεροφαὴς ἐν τῷ σεπτῷ Αὐτῆς ἐκλάμπεις στερεώματι, δᾳδουχοῦσα τὴν ὑφήλιον, βοῶσάν Σοι ταῦτα.

*Χαῖρε, ἡ φαιδρὰ λαμπηδὼν τῆς πίστεως,*
*Χαῖρε, ἡ τερπνὴ σαμβήκη τοῦ Πνεύματος.*

*Χαῖρε, τοῦ Χριστοῦ ἡ μυροφόρος μαθήτρια,*
*Χαῖρε, τοῦ αὐτοῦ ἡ θεοφόρος ἀσκήτρια.*
*Χαῖρε, ἡ τῶν Μυροφόρων τὸν χορὸν ἐκμιμηθεῖσα,*
*Χαῖρε, ἡ ταῖς οὐρανίαις στρατιαῖς ἐξισωθεῖσα.*
*Χαῖρε, ἡ ἔνθεος τοῦ Κυρίου ἀπόστολος,*
*Χαῖρε, ἡ κλεινὴ καὶ πιστὴ Αὐτῷ ἀκόλουθος.*
*Χαῖρε, ἡ δι' ἀστέρων Παύλῳ τῷ σοφῷ χρηματισθεῖσα.*
*Χαῖρε, ἡ δι' ἀγγέλου στέφανον περιτεθεῖσα.*
*Χαῖρε, ἡ ἐξυφάνασα σαυτῇ σωτήριον ἔνδυμα,*
*Χαῖρε, ἡ κατατρυφῶσα ἀεὶ εἰς τὰ κάλλη τὰ ἄρρητα,*
*Χαίροις Μῆτερ Πανόλβιε.*

*Ὦ Πανόλβιε* Μῆτερ, θεοτίμητε Ξένη ἁγίων παρθένων ἀκρότης. (ἐκ γ'.) Δέχοιο παρ' ἡμῶν εὐμενῶς τὸ παρὸν καὶ εὐτελὲς τοῦτο ἐφύμνιον, καὶ βράβευσον εἰρήνην ταῖς πρεσβείαις Σου τοῖς συμβοῶσιν. *Ἀλληλούϊα.*

# ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ

*Οἱ ἐν Μυλάσοις Κύριοι*

| | Σώμ. |
|---|---|
| Ὁ ἱερὸς Ναὸς ὁσίας Ξένης | 10 |
| Πρωτοσύγκελ. Φιλάρετος | 5 |
| Ἄγγελος ἱερεὺς οἰκονόμος | 2 |
| Θεόδωρος Τσίτελης Πρ. Δημογ. | 2 |
| Ἀλέξανδρος Τσανακᾶς Δημογ. | 3 |
| Ἰωάννης Μανουσάκης ἔφορος | 2 |
| Ἰωάν. Α. Κουκούλης Διευθυντής | 8 |
| Ἠλίας Κ. Μεταξᾶς διδάσκαλος | 2 |
| Ἰωάννης Μ. Γέμελλος | 1 |
| Ἀναστάσιος Κιουλαφᾶς | » |
| Ρήγας Στεργίου | » |
| Νικόλαος Φιλιππόγλου | » |
| Εὐάγγελος Πουπᾶς | » |
| Νικόλαος Γ. Μουμψῆς | 2 |
| Σαρῆς Χατζῆ. Μιχάλη | 1 |
| Γρηγ. Καπώνης | » |
| Γιακουμῆς Δημητρίου | » |
| Χριστοφόρος Πολίτης | » |
| Μιχαὴλ Π. Κρητικοῦ | » |
| Ἀναστάσιος Ἀργύρης | » |
| Κωνσταντῖνος Ἀναστασίου | » |
| Ἀλέξανδρος Πυργιώτου | » |
| Ἰωάννης Χατζῆ. Μιχαήλ | » |
| Ἀντώνιος Σταύρου | » |
| Στυλιανὸς Κατηρτζιδάκης | » |
| Ἰωάν. Στ. Κωλέττης καὶ υἱός | 2 |
| Χρῆστος Ἀλεξίου | 1 |
| Δημήτριος Θ. Νικολαΐδης | » |
| Κωνσταντ. Χατζῆ. Μιχαὴλ | » |
| Γαβριὴλ Ἐμμανουὴλ | » |
| Ἰωάννης Κυριακοῦ | » |
| Φίλιππος Νικολάου | » |
| Βασίλειος Σάββα | » |
| Βασίλειος Χατζῆ. Γεωργίου | » |

| | Σώμ. |
|---|---|
| Πέτρος Δημητρίου | 1 |
| Κωνσταντῖνος Κ. Μάνδης | » |
| Γεώργιος Κ. Μανδόπουλος | » |
| Γεώργιος Στέργιου Τσακίρη | » |
| Εὐστράτιος Βασιλείου | » |
| Γεώργιος Παρασκευᾶ | » |
| Κλέαρχος Ἰωάννου | » |
| Εὐάγγελος Γεωργίου | » |
| Νικόλαος Κώτης Τσουβάνου | » |
| Κων. Βασιλ. Τσιμπερέκης | » |
| Θεόδωρος Ι. Τσοχατζῆς | 2 |
| Κωνστ. Χατζῆ. Ἀμπατζόγλου | 1 |
| Ἐμμανουὴλ Στυλιανόγλου | » |
| Νικόλαος Βαλιάνος | » |
| Νικόλαος Σμυρνιός | » |
| Στέφανος Π. Ἀραπάκης | » |
| Ἀνδρέας Μεταξᾶς ἰατρός | » |
| Γεώργιος Ν. Κουμψῆς | » |
| Νικόλαος Μιχάλη | » |
| Φώτιος Ι. Καπετανάκης | » |
| Σεβαστὸς Ἀναγνώστου | » |
| Ἰωακεὶμ Χατζῆ. Δημητρίου | » |
| Ἐμμ. Κ. Μαγκαφᾶ | » |
| Μηνᾶς Κωνσταντίνου | » |
| Ἀπόστολος Γ. Σκλάβος | » |
| Πανταζῆς Ι. Τσανακᾶς | » |
| Θεόφιλος Χαρτοφίλογλους | 5 |
| Ἰωάννης Κουτσουμπὸς | 1 |
| Θεοχάρης Χατζῆ. Μιχαήλ | » |
| Ἰωάννης Β. Μουμψῆς | » |
| Χρῆστος Χ. Ἀθανασίου | 2 |
| Δημοσθένης Γεωργαλῆ | 1 |
| Μηνᾶς Ἀντ. Δουκάκης | » |
| Βασίλειος Σακελλαρίδης | 2 |
| Γεώργιος Πέρρογλους | 1 |
| Ἰάκωβος Μοναχός | » |
| Δημ. Γ. Βοσκοῦ | » |

| | Σώμ. | | Σώμ. |
|---|---|---|---|
| Δημ. Χρήστου | 1 | Παναγιώτης Θ. Καρβουνιάρης | 1 |
| Θεμιστοκλῆς 'Αλεξάνδρου | » | Κωνστ. Κατσικᾶς | » |
| 'Ηλίας Φωτίου Χ. Ζερβοῦ | » | 'Ηλίας Δ Μανούσογλου | » |
| 'Αντώνιος 'Εμμανουήλ | » | 'Εμμανουήλ Χ. Ν. Κωτάκη | » |
| Λάμπρος Μ. Τσίκηλλη | » | Ξενοφῶν Ι. Τσοχατζῆς | » |
| Κωστῆς Ρηγόπουλος | 2 | Σπύρος Χ. Γρηγορίου | » |
| 'Αντώνιος Μόνθουνας | 1 | Χαράλαμπος Γεμέλλου 'Ικάριος | » |
| Γεώργιος 'Αδάμ | » | Λουΐζος Μ. Λουϊζίδης | 4 |
| Νεοκλῆς Μυριάδου | » | Μιλτιάδης Χατζῆ. 'Ιωάννου | 1 |
| Δημήτριος Πυργιώτου | » | Χ''. Γεώργιος Χ''. Δημητρίου | 2 |
| 'Αθανάσιος Ι. Κλητσόπουλος | » | Δημήτριος Μανώλακας | 1 |
| Κωνσταντῖνος Κούτσουκας | » | Σταῦρος Χρήστου | » |
| Γιακουμῆς 'Ιωάννου | » | Βασίλειος Ν. Μουμψῆς | » |
| Κωνστ. Σαββα Σόβαντζη | » | Εὐστράτιος Χατζῆ. Θεολόγου | » |
| 'Ανδρέας Β. Μουμψῆς | » | Σταμάτιος Γεμενόγλου | » |
| 'Αντώνιος Καρα-Γεωργίου | » | Φώτιος Θεοδώρου | » |
| 'Ιωάννης Ν. Καρπαθάκης | » | Γεώργιος Κωλέττης | » |
| Σπύρος Μιχαήλ | » | 'Ιωαννης Σ. Τσακίρογλους | » |
| 'Ηλίας Κώτης. | » | Γεώργιος Καπώνης | » |
| Νικόλαος Καρπάθιος | » | 'Ιωάννης Κ. Σωκιανός | » |
| Σωφρόνιος Ι. Φιλιππόγλου | » | 'Ιωάννης 'Ελευθερίου | » |
| 'Ανδρουλῆς Ψωμᾶς | » | Νικόλαος Ι. Μαρμαρᾶς | » |
| 'Αλέκος 'Αριστείδου | » | Ιωάννης Χατζῆ. Γεωργίου | 2 |
| Τιμολέων Βασιλείου | » | Κωνστ. Χατζῆ. Κωνσταντίνου | 1 |
| Μιχαήλ Γεωργίου | 2 | Μιχαήλ Θωμᾶ | » |
| Γεώργιος Κωνσταντίνου | 1 | Σταῦρος 'Αναστασίου | » |
| Χαράλαμπος Λουκᾶ | » | Νικόλαος Γ. Ζωγράφου | » |
| Δημήτρ. Χ. Γ: Κωτάκη | » | 'Ιω. Φωτίου Πεϊντζικιανός | » |
| 'Αγγελῆς Χ. Χρήστου | » | Γεώργιος Κωνσταντίνου | » |
| Νικόλαος Γ. 'Ανδρέου | » | Σταῦρος Κ. Τσομάκας | » |
| Νικόλαος 'Εμμανουήλ | » | Χρῆστος Σιδέρη | » |
| 'Ιωάννης Κρητικοῦ | » | 'Ιωάννης Βωλιότης | » |
| 'Αντώνιος Μανούσου | » | Βασίλειος Χατζῆ. Θεολόγου | » |
| Δ. 'Αλεξάνδρου | » | 'Ηλίας Διαμαντῆς | » |
| Σταμάτιος Χατζῆ. Χρήστου | » | Γεώργιος Μ. Ράπτης | » |
| Στεφανῆς 'Αϊβαλιώτης | » | Γεώργιος Μανοῦσος | 2 |
| 'Απόστολος Δημητρίου | » | Δημήτρ. Κ. Βούλγαρης | 1 |
| Νικόλαος Β. Τσιμπερέκη | » | Χρῆστος Πανάγου | » |
| Νικόλαος Η. Μεταξᾶς | » | Νικόλαος 'Αδάμ | » |
| Σπύρος 'Αντωνίου | » | 'Απόστολος Μιχαήλ | » |
| 'Αλέξανδρος Πυργιώτης | » | Χριστοφῆς Ψωμᾶς | » |
| Ξενοφῶν Νικολάου | » | Θεόδωρος Λαδόπουλος | » |
| Φώτιος Χατζῆ. 'Ιωάννου | » | Θεοδόσιος Γεωργίου | » |

| | Σώμ. |
|---|---|
| Ξενοφῶν Γεωργίου | 1 |
| Δημήτριος Εὐστρατίου | » |
| Π. Ν. Σιφωνιός | 2 |
| Γεώργιος Στεφάνου | » |
| Παναγῆς Γεωργίου | 1 |

*Αἱ ἐν Μυλάσοις εὐσεβεῖς Κυρίαι*

| | |
|---|---|
| Γραμματικὴ Μηνᾶ | 1 |
| Γιασεμὴ 'Αντ. Λουκάκη | » |
| 'Αργυρὼ 'Ιατροῦ | » |
| Θεοδώρα 'Αριστείδου | » |
| 'Αγγελικὴ Λουλουδάκη | » |
| Κατίνα Γ. Καπώνη | » |
| Πηνελόπη Παναγιώτου | » |
| Μαρία ΚΧατζῆΓ. Κωτάκη | » |
| Μαρία 'Αναστ. Χρυσοῦ | » |
| 'Ελένη Κ. 'Ελμάζη | » |
| Μαρία Γ. Μανώλακα | » |
| Ξένη Β. Ποζᾶ | » |
| Χρυσάνθη 'Αντωνίου | » |
| Γιασεμὴ Στεφάνου | » |
| Εὐτυχία Μ. Χαρτοφίλου | » |
| 'Ελένη Μαμμή | » |
| 'Αναστασία 'Ηλ. Κωτάκη | » |
| Μαριγὼ Ν. Κατσαροῦ | » |
| Ξένη Ν. Προεστοῦ | » |
| Κατίνα Στυλιανόγλου | » |
| 'Αναστασία Γ. Χατζῆ Μιχαὴλ | » |
| Δέσποινα Ε. Χατζῆ. Μιχαὴλ | » |
| Γεθσημανὴ Χρίστοο | » |
| Εὐτυχία 'Αδάμ | » |
| Ἄννα Κ. Κωτάκη | » |
| Στυλιανὴ Ν. Κωνσταντίνου | » |
| 'Αρτεμισία Λ. Λουϊζίδου | » |
| Γιασεμὴ Γεωργίου | » |

*Οἱ μαθηταὶ τῆς* 'Ασ. Σχολῆς.

| | |
|---|---|
| Μιχαὴλ 'Ανδρουλῆς | 1 |
| 'Ιωάννης Καμαριώτης | » |
| 'Αχιλλεὺς Πυθαγόρου | » |
| Θεόδωρος Νικολάου | » |

| | Σώμ. |
|---|---|
| Εὐάγγελος Ι. Μανουσάκης | 1 |
| Κωνσταντῖνος Γεωργίου | 2 |
| Δημ. Π Α. Οἰκονόμου | 1 |
| Γαληνὸς Ι. Κωλέττου | » |
| Στυλιανὸς Στ. Κωτάκη | » |
| Μιχαὴλ Σ. Κωτάκη | » |
| 'Αρχιμήδης Ν. Ξενετζῆς | » |
| 'Ιωαννης Γ. Παπαζογλου | » |
| Κωνσταντῖνος Χρίστου | » |
| Κωνστ. Ν. Σταματίου | » |
| Γεώργιος Ν. Σταματίου | » |
| Πιττακὸς Ν. Σταματίου | » |
| Ξένος Ι. Χατζῆ. Θεολόγου | » |
| 'Ιωάννης Κυριακοῦ | » |
| 'Ιεζεκιὴλ 'Ιωάννου | » |
| Γεώργιος Χατζῆ. Σπύρου | » |
| 'Αθανάσιος 'Αναστασίου | » |

*Οἱ ἐν Μανδαλιᾷ ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ Αἰδεσιμωτάτου κ. 'Εμμανουὴλ ἱερέως Σακκελαρίου*

| | |
|---|---|
| Παπᾶ 'Εμμανουὴλ Σακκελάριος | 1 |
| Στέφανος 'Ιωάννου | » |
| Λουκᾶς 'Ιωάννου | » |
| Θεοχάρης Δημητρίου | » |
| 'Ιωσὴφ Δανιὴλ | » |
| Μιλτιάδης Γ. Μυριάδης | » |
| Νικόλαος Τσακίρης. | » |

*Οἱ ἐν Κιουλουκίῳ ἀξιότ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. 'Αναστασίου Κάππα.*

| | |
|---|---|
| 'Ιγνάτιος ἱερεύς | » |
| 'Ανδρουλῆς Χριστοφόρου | » |
| Χατζῆ. Σπύρος 'Αντωνίου | » |
| 'Αναστάσιος Κάππας | » |
| 'Ιωάννης Α. Κάππα | » |
| Χαρίλαος Α. Κάππα | » |
| Κατίνα Α. Κάππα | » |

Σώμ.

Μιχαὴλ Α. Κάππα 1
Δημήτριος Σεβαστόπουλος »
Ὁ ἱερὸς Ναὸς τῆς Κοιμήσεως
τῆς Θεοτόκου 2

*Οἱ ἐν Πεντζηκίῳ ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ Ἑλληνοδιδασκάλου κ. Ἰ. Ἐμμ. Κλάψη.*

Ἰ. Ἐμμ. Κλάψης 1
Φώτιος Χρ. Ράπτου »
Κωνσταντῖνος Ἀντωνίου »
Εὐθύμιος Ἐμμ. Κλάψης »
Μιχαὴλ Ε. Τάσταλης »
Νικόλαος Γ. Καρακιαβούρης »

*Οἱ ἐν Μούγλοις ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ Ι. Α. Ἀθανασιάδου.*

Ἀν. Ἀθανασιάδης 1
Δ. Σκλαβιάδης »
Γιάγκος Δ. Σκλαβιάδης »
Μιχ. Γ. Τσακίρογλους »
Κοσμᾶς Ν. Κοσμανίδης »
Ἰ.Κ.Κωνσταντινίδης ἐκ Μάκρης 3
Antoine Midos »
Α. Ν. Σαββαΐδης »
Δημ. Πεγνιγιάννης »
Ἰωάννης Ἀθανασιάδης »
Ἡ ἐν Μούγλοις ἱερὰ Ἐκκλησία
τῆς Γεννήσεως τῆς Θεοτόκου 1
Παπᾶ Κωνσταντῖνος Σεβαστάκης Οἰκονόμος Σάμιος. »

*Οἱ ἐν Ἁλικαρνασσῷ ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. Ν. Μάρκογλου.*

Νικόλαος Μάρκογλους »
Κωστῆς Πέτρου »
Σταῦρος Βολωνάκης, ἐκ Σμύρνης »
Γεώργιος Χατζῆ. Μιχαὴλ »
Κωνστ. Μ. Τριανταφύλλου »
Ν. Χρι..... »

Σώμ.

*Οἱ ἐν Γέροντᾳ ἀξιότ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. Ἐμ. Καίπα.*

Μεθόδιος Φαίδας Ἀρχιμανδρ. 1
Ὀνούφριος Σύγγελος. »
Ἐπαμεινώνδας Θηβαιόπουλος »
Ἀδελφοὶ Φαίδα »
L..... »
Νικόλαος Χατζῆ. Λουΐζου »
Δημήτριος Μιχάλογλους »
Γεώργιος Μιχάλογλους »
Δημ. Τσούπρης »
Π. Ἐμμανουὴλ »
Νικόλαος Καλομοίρης »
Ἰωάννης Ε. Σπύρου »
Γεώργιος Θ. Ρουμελιώτου »
Νικόλαος Κορνήλιος »
Γ. Ι. Παπᾶ Γεωργίου »
Ἰσίδωρος Πέτρου »
Ἀναξαγόρας Κυριακοῦ »
Ἰωάννης Ν. Κορλαγένης »
Δ. Ἀδριανοῦ »
Γεώργιος Σακλαΐος »
Ἰωάννης Παπᾶ Οἰκονόμου »
Μαργίτσα Γ. Ἰατροῦ »
Ἐλπὶς Ν. Καίπα »

*Οἱ ἐν Σμύρνῃ ἀξιότ. Κύριοι καὶ Κυρίαι τῇ εὐγενεῖ φροντίδι τοῦ ἱερολογιωτάτου ἱεροδιακόνου κ. Γρηγορίου Χριστοδούλου ἐφημ. ἁγίας Φωτεινῆς.*

Μισαὴλ Διακάκης Ἀρχιμανδρίτης ἁγ. Φωτεινῆς. »
Ἱερόθ. Σύγγελος ἐφημ. ἁγ. Φωτεινῆς. »
Γρηγ. Χρηστοδούλου ἱεροδ. ἁγ. Φωτεινῆς. »
Νικ. Ἰσαακίδης Γραμμ. ἁγ. Φωτεινῆς. »
Δωρόθ. Ν. Δουκάκης ἐφημ. ἁγ. Γεωργίου. »

| | Σώμ. |
|---|---|
| Γεώργ. Β. Βασιλειάδης Νεωκόρος άγ. Φωτεινῆς. | 1 |
| Γεωργία Δ. Σταματοπούλου | » |
| Ἀργυρὼ Κ. Ἀραμπατζῆ | » |
| Χατζῆ Δάφνη Παπᾶ. Νικολάου | » |
| Στέλιος Κ. Ἀραμπατζῆ | » |
| Βασιλάκης Περρίδης | » |
| Νικόλαος Χρ. Σκοπελίτης | » |

*Τῇ εὐγενεῖ φροντίδι τοῦ ἀξ. κ. Μιχαὴλ Σακατζόγλου.*

| | Σώμ. |
|---|---|
| Ἀθανάσιος Στερνακίδης | 1 |
| Μιχαὴλ Σακατζόγλους | 3 |
| Ἀναστασία Μ. Σακατζόγλου | 1 |
| Ἰορδάνης Σακατζόγλου | 2 |
| Σοφία Κ. Σακατζόγλου | 1 |
| Μαρία Ι. Σακατζόγλου | » |
| Ἐμμ. Χ. Γρηγορίου | 4 |
| Δημήτριος Σ. Βάλλης | 1 |
| Δραγίας Λώμεφ | » |
| Δημήτριος Γιαγτζόγλους | » |
| Παναγ. Ἀμπατζῆς (Σεβδίκοϊ) | » |
| Εὐάγγελος Ἀμίλητος | » |
| Κωνσταντῖνος Ταμβακίδης | » |
| Ἰωάννης Β. Σαμάρας | » |
| Κλήμης Δρημιλιώτης | » |
| Βασίλειος Τοῦμπος | » |
| Μισαὴλ Ἱεροδιάκονος | » |
| Ἰγνάτιος Γιαζιτζῆς | » |
| Νικόλαος Μασέλας | » |
| Παναγ. Χατζῆ. Παναγιώτου | » |
| Νικόλ. Ποταμιάνος | » |
| Κωνστ. Πουλιάδης | » |
| Βασίλ. Δρημιλιώτης | » |
| Χαράλ. Μαγκουσέλης | » |
| Ἰωάννης Βουγιούκας | » |
| Μανοῦσος Βηδάκης | » |
| Φώτιος Βηδάκης | » |
| Κωνστ. Κιρκαγατολῆς | » |
| Ἑλένη Κεχαγιᾶ | » |
| Μιχαὴλ Λαχνουδάκης | » |
| Μαρία Ἀγαθαγγέλου | » |
| Ἐμμ. Σιδερᾶς | » |

| | Σώμ. |
|---|---|
| Στυλιανὸς Μιλτιάδου | 1 |
| Ἰωάννης Σιβέλης | » |
| Ἀνδρέας Πετρόχειλος | » |
| Στέφανος Εὐστρατιάδης | » |
| Νικόλαος Ἀμπατζῆς | » |
| Κυριάκος Ἀμπατζῆς | » |
| Νικόλ. Οὐλατζακλῆς | » |
| Δημήτρ. Ἀθανασίου | » |
| Δημήτρ. Σταύρου | » |
| Ἀλέξαν. Εὐστρατιάδης | » |
| Μιχαὴλ Τσιρῆγος | » |
| Ἀντώνιος Φράγκης | » |
| Γεώργ. Μιχαηλίδης | » |
| Ι. Κρασσόπουλος | » |
| Ἀριστείδης Παρασόπουλος | » |
| Ἀμβρόσιος Μαντόπουλος | » |
| Ἀνδρέας Λαζαρίδης | » |
| Ἀνδρέας Ἀναστασιάδης | » |
| Νικόλαος Κλάδης | » |
| Σωτήριος Γλωσσίδης | 2 |
| Ἰωάννης Κ. Πέτρου | 1 |
| Λάζαρος Δ Πέτρου | » |
| Ἰω. Ἀποστολίδης (φαρμακοπ.) | » |
| Ν. Ἀϊβαζόπουλος (φαρμακοπ.) | » |
| Κωνστ. Καμπαρᾶς | » |
| Μήλτης Ἀγιακατσικᾶς | » |
| Θεόδωρος Μπιζιργιάνογλου | » |
| Δημήτριος Σαβέλης | » |
| Ἰωάννης Μ. Γκίμπας | » |
| Στέλιος Δημάκη | » |
| Δημήτριο Μητροπολίτης | » |
| Βασίλ. Φιανόπουλος | » |
| Στέργιος Ν. Πέτρου | » |
| Ἰωάννης Παναγιωτόπουλος | » |
| Ἀναστάσιος Ψαρᾶς | » |
| Θωμᾶς Χατζῆ. Θωμᾶ | » |

*Τῇ εὐγενεῖ φροντίδι τῶν Ἀξ. κ. Ἀδελφῶν Παπάζογλου.*

| | Σώμ. |
|---|---|
| Ἀδελ. Παπάζογλου καὶ Σ. Χουβαρδᾶς | 4 |
| Γ. Σ. Μαυΐδάκης | 1 |
| Σταῦρος Δ. Καπριτζόπουλος | » |

| | Σώμ. |
|---|---|
| Ἰωάννης Χατζῆ. Βασιλείου | 1 |
| Ξενοφῶν Κυριακίδης | » |
| Νικόλ. Γ. Παππᾶ | » |
| Et . . . . . . | » |
| Δημήτριος Καραγιάννης | » |
| Κώνστας Ἀγγελίδης | » |
| Χρ. Χ. Μιχάλης | » |
| Κ. Ρίζος | » |
| Μ. Ἀφέζογλου | » |

*Οἱ ἐν Θήροις ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. Τιμολέοντος Φανάρα.*

| | |
|---|---|
| Ἐμμ. Κτενᾶς | 1 |
| Μ. Βουγιούκας | » |
| Θάλεια Α. Καρτζακλῆ | » |
| Δημοσ. Ἀγγελίδης | » |
| Βασίλ. Χατζῆ. Χαραλάμπους | » |
| Στυλιανὴ Σαββαροπούλου | » |
| Νικόλ. Μίχου | » |
| Γεώργ. Τσαγκαλόπουλος | » |
| Γεώργ. Παναγιωτίδης | » |
| Νικ. Α. Νικολαΐδης | » |
| Νικόλ. Ε. Χιωτάκης | » |
| Ἀνδρέας Καμπούρης | » |
| Λάμπρος Ἀγγελάκης | » |
| Δημοσθ. Νικολάου | » |
| Σπῦρος Παναγιωτίδης | » |
| Κωνστ. Ρουσάκης | » |
| Α. Χατζῆ. Κωνσταντίνου | » |
| Γεώργ. Σ. Ἰορδανίδης | » |
| Θεόδωρος Κωρωναῖος | » |
| Χ'' Μιλτιάδης Χ''. Μανώλης | » |
| Γεώργιος Τζιμόπουλος | » |
| Νεοκλῆς Ψάλτης | » |
| Θ. Δ. Σταμπολιοῦ | » |
| Χρῆστος Γ. Καρακιαχαγιᾶς | » |
| Ἀπόστολος Χ. Στυλιανοῦ | » |
| Τιμολέων Φανάρας | » |

*Οἱ ἐν Πάτμῳ ἀξιοτ. κύριοι τῇ εὐγενεῖ φροντίδι τῶν Μυλασέων ἱεροσπουδαστῶν.*

Σώμ.

*Οἱ τῆς Ἱερᾶς Μονῆς τοῦ ἁγ. Ἰωάννου τοῦ Θεολόγου.*

Ὁ Καθηγούμενος Πάτμου Ἀγαθάγγελος
Ἱερόθεος Μαρκάκης ἱερομόναχος
Μακάριος Μπακράτζη »
Μελέτιος Ζερλέντης ἱεροδιάκονος
Ἰάκωβος Κωρόνης »
Γρηγόριος Γέννης »
Νεόφυτος Ἀλεξιάδης Μοναχός
Ξένη Μοναχή
Εὐθύμιος ἱερομόν. Σκοπελίδης

*Οἱ Καθηγητ. τοῦ ἱεροδιδασκαλείου τῆς Ἀποκαλύψεως ἐν Πάτμῳ.*

† Ὁ Θηβαΐδος Γερμανὸς διευθυντής. 2
Ἰωακεὶμ Παυλίδης
Μ. Μαλανδράκης
Ἀλεξ. Κολυφέτης
Κων. Μπλέτσης

*Οἱ μαθηταὶ τοῦ ἱεροδιδασκαλείου.*

Σεραφεὶμ Γ. Χαρίτου ἱεροδ. ἐκ Σύμης
Νικόλαος Ι. Ἄντωβικ ἐκ Κρήνης
Μιλτιάδ. Νικολαΐδης ἐκ Βιθυνίας
Κων. Π. Μωραΐτης ἐξ Ἰκαρίας
Χριστ. Σακελλαρίδης ἐκ Καρπάθου
Ἐμμαν. Λυσιμάχου ἐκ Σάμου
Γεώρ. Π. Θεοχάρους ἐκ Σύμης
Κυρ. Π. Δημητρίου ἐκ Καστορίας
Μιχαὴλ Β. Νοταρᾶ ἐκ Καρπάθου
Σωκρ. Γ. Βασιλειάδης ἐκ Κοτυαίου
Ἰωάν. Χατζῆ. Ἰεσσαὶ ἐξ Ἰκονίου
Μυρ. Δημητρακόπουλος ἐκ Σινώπης
Σέργιος Π. Δ. Κογκινὸς ἐκ Ρόδου
Μενέλαος Ἀλεξάνδρου ἐκ Σάμου
Ἀνδρ Κ. Εφραιμίδης ἐκ Κοτυαίου
Γρηγ. Σ. Γρηγοριάδης Μυλάσσων
Ἡρόδοτος Μ. Προκοπίδης «

Σώμ.

Δημήτριος Π. Ἀραπάκης «
Ὄθ Λ. Παπαδόπουλος Βουρδουρίου
Ἰωάν Β. Γεωργαλλίδης Μάκρης
Ἰωάννης Π. Νικολάου
Γεώργιος Π. Μαυροχαλυβίτης
Ἠλίας Ι. Λαζαρίδης
Παῦλος Ν. Μωεϋσείδης
Ἰορδάνης Δημητριάδης
Στέφανος Χαρίτωνος
Σπυρ. Ι. Σιμπιλίδης
Ἰάκωβος Ι. Βλόντης
Ἀντώνιος Γ. Κιοσόγλου
Κων. Γ. Χατζῆ Δημητρίου
Ἀνδρέας Ἐμ. Χαντζανδρούλης
Ἰωάννης Λουϊζίδης

*Οἱ ἐν Πάτμῳ ἀξ. Κύριοι καὶ Κυρίαι*

Λεόντιος Λαδικός μοναχός
Ἰωάννης Παπᾶ. Νικολάου
Μαριγὼ Β. Κοκόλη
Παναγῆς Ι. Καλλιγᾶς
Ἰωάννης Σ. Τηλιακός
Μαριγὼ Γ. Κοκόλη
Ἀσπασία Ἐμ. Πτέρη

*Οἱ ἐν Σηλυμβρίᾳ ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ Παν. Πρωτ. Διονυσίου καὶ τοῦ κυρίου Ἀν. Κ. Π. Σταμούλη.*

†Πρωτ. Διονύσιος Κουχτζόγλου 4
Ἀρχιμ. Θεόφιλος Χρυσαφίδης
Ἀρχιμ. Ἰωακεὶμ Ἀνδρέου
Οἰκονόμος Σέργιος
Ἀνα. Κ. Π. Σταμούλης 20
Δημόκριτος Σεργιάδης
Θεοχάρης Ι. Βλαχόπουλος
Ἀντ. Χρ. Ἠπειρώτης
Λεωνίδας Κανάκης
Νικόλαος Πιστὼφ Ἠπειρώτης
Ἀναγνώστης Ἐνδόλφης ἐκ Γάνου
Σταῦρος Σ. Βεῦκος
Ἰωάννης Βεγγλίδης
Βλάσιος Γεωργίου

Σώμ.

Γεώργιος Μητάκου
Ἀνδρέας Π. Ἀντωνιάδης
Ἐλευθέριος Σκαρλάτου
Βαχάρης Ἐμμ. Χατζόγλους
Νικόλαος Σκαρλάτου
Ἰωάννης Πέτρου
Θεμιστοκλῆς Β. Καλφόγλους
Γ. Βασιλάκη
Ε Α. Κουρμουσιάδης ἰατρός
Π. Β. Πολυχρονιάδης
Ἀναστάσιος Ι. Μιλιάδης

*Οἱ ἐν Ἀτταλείᾳ ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδει τοῦ ἀξ. κ. Θ. Κεχαγιαογλοῦ*

Θ. Σ. Κεχαγιαογλοῦ
Στ. Γ. Βελσεμές
Χ. Ἀλεξάνδρου
Ἐφ. Π. Δανιηλίδης
Κωνστ. Ι. Ἀλάτης
Στ. Κεχαγιάογλου 2
Γ. Βεσλεμές 2

*Οἱ ἐν Σωκίοις ἀξ. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ ἀξ. κ. Ἀριστοτέλους Καμαριώτου ἰατροῦ.*

Ἀλέξανδρος Ἐμμ. Καίπας
Κωνσταντῖνος Ι. Γιγουρτᾶς
Ἀθ. Καμαριώτης 4
Πρωτοσύγκ. Δημήτριος
Σακκελάριος Πα. Στέφανος
Ἱερεὺς Μιχ. Κωνσταντίνου
Οἰκονόμος Π. Δ. Παντελίδης
Παππᾶ Ἐμμ. Σειρλῆς
Χαράλαμπος Θεοδωρίδης
Ὅμηρος Ν. Ἀλετρᾶς
Ἰωάννης Χατζῆ. Χαλκιᾶ
Κωνστ. Ἰορδάνου
Μιχαὴλ Δ. Γεωργιάδης
Νικόλαος Ζαρδόπουλος
Ἕκτωρ Μηνάρδος
Δημήτριος Κλάδης
Χρυσόστομος Βομβάρης

Σώμ.

Χρῆστος Σαράντου
Στέλιος Κ. Τζιρέτας
Χαρίτος Δ. Φουρνάρης
Νικόλ. 'Ανδρ. Χατζῆ Χαλκιᾶς
Πυθαγόρας Κωλέττης
Κωνσταντῖνος 'Αγαπητοῦ
Κ. Ε. Βεϊνόγλους
Δ Ε. Σε.....

Κωνσταντῖνος Παππᾶ 'Ιωάννου
Νικόλαος Καραμηνᾶ

*Οἱ ἐν τῷ λιμένι Βαθέος Σάμου ἀξ. Κύριοι*

*Οἱ μαθηταὶ τοῦ Πυθαγορείου Γυμνασίου· τῇ εὐγενεῖ φροντίδι τοῦ ἱερολογιωτάτου Μεθοδίου Α. Κουκούλη.*

Σ. Γ. Χουβαρδᾶς ἐκ Καρλοβασίων
Δ. Σταυριανὸς « Σπαθαράκων
Ε. Δ. Λουκᾶς « Καρλοβασίων
'Ιωάννης Δ. Κωνσταντινίδης
'Ιγνάτιος Χ. Κωνσταντίνου
Γαβριὴλ Μ. Σπανουδάκης
Γ. Α. Καμαριώτης Μυλασεύς
Κ. Σ. Κυδωνικός
Σ. Π. 'Εμμανουήλ
Σταῦρος Δ. Γαλανός
Μεθόδιος Α. Κουκούλης

*Οἱ ἀξ. Κύριοι*

'Εμμ. Πασχάλης 3
Μελέτιος Φαγᾶς 'Εκκλησιάρχης

*Οἱ ἐν Κοκκαρίῳ Σάμου ἀξ. κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. Γεωργίου Θεοφάνους.*

'Η ἱερὰ 'Εκκλησία τῆς Κοιμήσεως
'Η ἐνορία τῆς Μεταστάσεως
Παναγιώτης Πάστρας ἱερεύς
Θεοφάνης Ζωγράφος
Γεώργιος Παπᾶ. Θεοφάνους
Φ. Φ. Γαρουφαλῆς

Σώμ.

Θ. Δ. Κωστόπουλος
Σταμάτιος Σ. Καζόγλου
'Ιωάν. Κ. 'Ελισαβίτης
Κυριακὸς Γ. Λυμπέρης
Δ. Κ. Σαραντίδης
Δ. Κάμφουρας
Μανουὴλ Δ. Κυπραίου
'Αντώνιος Ι. 'Αγγελήνορος
Γεώργιος Βουγιούκας
Θέκλα Ι. Παρτζάφα
Κωνστ. Μ. Περρῆ
Κυριάκος Χατζῆ. Μ. Περρῆ
Μαριάνθη Ι. Σαντάλη διδάσκαλος
Παναγ. Κ. Περρῆς
Νικ. Ν. 'Αλεξόπουλος
'Αναστ. Γ. Κυπραίου
Μαν. Ν. Χ. 'Ιωάννου διδάσκαλος
'Εμμ. Β. Διακογιάννης
Γεώρ. Φ. Γαλανῆς
Βασίλειος Π. Γ. Ζωγράφου
Μανουὴλ 'Ι. Λυμπέρη

*Οἱ ἐν Καραολὰρ (Κρόπας) ἀξιοι. Κύριοι τῇ εὐγενεῖ φροντίδι τοῦ κ. Γρ. 'Αναγνώστου.*

Σταῦρος Χατξῆ. Βασιλείου 1
Κωνστ. Ι. Τζανιδάκη »
Σπῦρος Κ. Μητσόπουλος »
Χρῆστος Δημολένκας »
'Ιωάννης Μ. Μεσοχωρίτης »
Δημοσθ. Ι. Τζανιδάκη »
'Ιωάννης Γρηγορίου »
Μ. Ν. Πρωτοπαπᾶ »
Γεώρ. Π. Γεωργίου »
Πανανῆς 'Εμμ. Γενηπαξελῆς »
Πέτρος Πάκος »
Γρηγ. 'Αναγνώστου »
Γεώρ. 'Εμμ. Παναγιώτογλου 9
Κων. Χρήστου »
Λεωνίδας Μιχαηλίδης «
Γεώρ. Ν. Μαντζακάκης »

ΤΕΛΟΣ